ὦ Μίνως, δίκαζε· ἱκανὰ γὰρ ἀπὸ πολλῶν καὶ ταῦτα. ΣΚΙ. Μὴ θορύβει, ἢν μὴ καὶ ἐμὲ ἀκούσῃς. MIN. Τίς γὰρ εἶ ὦ βέλτιστε; ἢ πόθεν ὢν ἐρεῖς; ΣΚΙ. Ἰταλιώτης Σκιπίων, στρατηγὸς, ὁ καθελὼν Καρχηδόνα, καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις. MIN. Τί δὲ καὶ Ζὺ ἐρεῖς; ΣΚΙ. Ἀλεξάνδρου μὲν ἥττων εἰμὶ, τοῦδε δ' Ἀννίβου ἀμείνων· ὃς ἐδίωξα νικήσας αὐτὸν, καὶ φυγεῖν καταναγκάσας ἀτίμως· πῶς οὖν οὐκ ἀναίσχυντος εἶ, ὃς πρὸς Ἀλέξανδρον ἀμιλλᾶται, ᾧ οὐδὲ Σκιπίων ἐγὼ ὁ νενικηκὼς αὐτὸν, παραβάλλεσθαι ἀξιῶ; MIN. Νὴ Δί' εὐσεβώμονα φὴς, ὦ Σκιπίων· ὥστε πρόσει μὲ κεκρίδαι Ἀλέξανδρος, μετ' αὐτὸν ἢ σύ· εἶτα εἰ δοκεῖ, τρίτος Ἀννίβας, οὐδὲ οὗτος εὐκαταφρόνητος ὤν.

Διάλογος ιβ'.

Διογένους καὶ Ἀλεξάνδρου.

ΔΙΟΓ. Τί τοῦτο, ὦ Ἀλέξανδρε, καὶ Ζὺ τέθνηκας ὥσπερ ἡμεῖς ἅπαντες; ΑΛΕΞ. Ὁρᾷς, ὦ Διόγνες, ὁ φαίνεται δοξον δὲ, εἰ ἄνθρωπος ὤν, ἀπέθανον. ΔΙΟΓ. Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο, λέγων ἑαυτὸν σε εἶναι υἱόν· σὺ δὲ Φιλίππου ἄρα ἦσθα; ΑΛΕΞ. Φιλίππου δηλαδή· ὃς γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν. ΔΙΟΓ. Καὶ μὴν καὶ περὶ τῆς Ὀλυμπιάδος τῆς μητέρος σου ὅμοια πολλὰ ἐλέγοντο. Δράκοντα ὁμιλεῖν αὐτῇ καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ· εἶτα ὕστερον τεχθῆναι, τὸν δὲ Φίλιππον ἀπατᾶσθαι οἰόμενον πατέρα σὸν εἶναι. ΑΛ. Κἀγὼ ταῦτα ἤκουον ὥσπερ σύ· νῦν δὲ ὁρῶ ὅτι οὐδὲν ὑγιὲς ἦν οὔτε ἡ μήτηρ, οὔτε οἱ περὶ Ἀμμωνίων περιῆσαν ἔλεγον. ΔΙΟΓ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν οὐκ ἀχρηστόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ παράλογα

ἐγώ εἶμι· πολλοὶ γὰρ ὑπέπτηνον, θεὸν εἶναί σε νομίζοντες· ἀτὰρ εἰπό μοι, τίνι δὲ τοσαύτην ἀρχὴν καταλέλοιπας; ΑΛ. Οὐκ οἶδα, ὦ Διόγενες· ἐγὼ γὰρ ἔρχομαι ὀπίσκηψαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων, Πρόκνα δὲ δακτύλιον ἐπέδωκα· ἀλλὰ τί γελᾷς, ὦ Διόγενες; ΔΙΟΓ. Τί γὰρ ἄλλο, ἢ ἀνεμνήσθην οἷα ἐποίει ἡ Ἑλλάς, ἅρπ σε παρελπφότα δὲ ἀρχὴν κολακεύοντες, καὶ περιστάντων αἱρεμένοι, καὶ στεφανοῦν ἐπὶ τοῦ βαρβάρου· ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς περιστέντες, καὶ νεὼς οἰκοδομέμενοι, καὶ θύοντες ὡς Δερκύλῳ υἱῷ· ἀμὴ εἰπέ μοι, πῶς σε οἱ Μακεδόνες ἔθαψαν; ΑΛ. Ἐπ᾽ ἐν Βαβυλῶνι κεῖμαι τεύτλῳ ταύτλῳ ἡμέρας· ἐπισχνεῖται δὲ Πτολεμαῖος ὁ σωματοφύλαξ, ἵν᾽ πολὺ ἀγάγῃ χρόνῳ ἀπὸ τῆς δορύβων τῆς ἐν ποσὶν, εἰς Αἴγυπτον ἀπαγαγών με, θάψειν ἐκεῖ, ὡς χρησίμῳ εἰς τὴν Αἰγυπτίων θεῶν. ΔΙΟΓ. Μὴ γελάσω, ὦ Ἀλέξανδρε, ὁρῶν σε ἃ δὲ ἔπ σε μωραίνοντα, καὶ ἐλπίζοντα Ἄμμωνι, ἢ Ὄσιρι γενέσθαι; τῷ δὲ ταῦτα μὴ, ὦ δειλόταλε, μὴ ἐλπίσῃς· ἐγὼ γὰρ θέμις ἀνελθεῖν πρὸς τὴν ἄπαξ διαπλεύσαντα τὴν λίμνην, καὶ εἰς τὸ εἴσω τῆς σωτῆρος παρελθόντα· ἐγὼ γὰρ ἀμελὴς ὁ Αἰακός, ἀλλ᾽ ὁ Κέρβερος ἐυκαταφρόνητος· ἐκεῖνα δὲ ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρῃς ὁπότ᾽ ἂν ἐννοήσῃς ὅσων εὐδαιμονίαν ἀπὸ γῆς ἀπολιπὼν, ἀρίξας σωματοφύλακας καὶ στρατιάς, καὶ στρατόπας, καὶ χρυσὸν τοσοῦτον, καὶ ἔθνη περισχόντα, καὶ Βαβυλῶνα, καὶ Βάκτρα, καὶ τὰ μεγάλα θηρία, καὶ πρῶτ, καὶ δόξαν, καὶ τὸ ὄνομον εἶναι, ἐλαυνόντα, διαδεδεμένον ταινίᾳ λευκῇ δὲ κεφαλῇ πορφυρέᾳ ἐμπεπορπωμένον· ἐγὼ λυπεῖ ταῦτά σε νῦν δὲ μνήμων ἰόντα; τί δακρύεις, ὦ μάταιε; ἐγὼ δὲ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε, μὴ οἴεσθαι βέβαια εἶναι τὰ παρὰ τῆς

τῆς τύχης; ΑΛΕΞ. Σοφὸς, ἀπάντων ἐκεῖνος κολάκων ὀπισθοπόδαλος ὤν; ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλυς εἰδέναι, ὅς μὲ ἤτησε παρ' ἐμοῦ, οἷα ἢ ἐπίστελλεν· ὡς ἢ καλεχεῖτό μυ τὴν περὶ παιδείαν φιλοτιμίαν, θωπεύων, καὶ ἐπαινῶν, ἅρπ μὲν ἐς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἅρπ δ' ἐς τὰς πράξεις, καὶ τὸν πλοῦτον· καὶ γὰρ αὖ καὶ τοῦτ' ἀγαθὸν ἡγεῖτ' εἶναι, ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων χάρις, ὦ Διόφαντες, ἄνθρωπος, καὶ τεχνίτης πολλοῦ λόγου· ἀλλὰ τοῦτό γε ἀπόκεινται αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ὅτι μεγίστοις ἀγαθοῖς, ἃ καταπεθυμήσω μικροῦ γε ἔμπροσθεν. ΔΙΟΓ. Ἀλλ' οἶδα ἃ δεήσεις; οὐκοῦν γάρ σοι τὴν λύπης ἀποθήσομαι, ἐπεὶ συναῦθά γε ἐλλέβορος ἡ φύσις, οὐ γὰρ τὸ Λήθης ὕδωρ χαυδὸν ἐπαπασάμενος πίε, καὶ αὖθις πίε, καὶ πολλάκις· ἕτω γὰρ ἂν παύσῃ ὅτι τοῖς Ἀριστοτέλυς ἀγαθοῖς ἀνιώμενος· καὶ γὰρ καὶ Κλεῖτον ἐκεῖνον ὁρῶ, καὶ Καλλισθένη, καὶ ἄλλυς πολλοὺς ὅτι σὲ ὁρμήσαντας, ὡς διαπασαίνοιο, καὶ ἀμύναντό σε ὧν ἔδρασας αὐτούς· ὥστε τὴν ἑτέραν σὺ ταύτην βάδιζε· καὶ πῖνε πολλάκις, ὡς ἔφην.

Διάλογος κ'.

Ἀλεξάνδρυ καὶ Φιλίππυ.

ΦΙΛ. Νῦν μέν, ὦ Ἀλέξανδρε, οὐκ ἂν ἔξαρνος γένοιο· μὴ οὐκ ἐμὸς υἱὸς εἶ; ὃ γὰρ ἂν ἐτεθνήκεις, Ἄμμωνός γε ὤν. ΑΛ. Οὐδ' αὐτὸς ἐγνόουν, ὦ πάτερ, ὡς Φιλίππυ τοῦ Ἀμύντυ υἱός εἰμι, ἀλλ' ἐδεξάμην τὸ μάντευμα, ὡς χρήσιμον ἐς τὰ πράγματα οἰόμενος εἶναι. ΦΙΛΙΠ. Πῶς λέγεις; χρήσιμον ἐδόκει σοι, τὸ πιρέχειν

σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τῶν σοφιστῶν;
ΑΛΕΞ. Οὐ τοῦτο ἀλλ' οἱ βάρβαροι καλε-
πλάτησάν με, καὶ οὐδεὶς ἔπ' ἀνδίσταλο, οἰόμενοι
θεῷ μάχεσθαι· ὥστε ῥᾴδιον ἐκράτησαν αὐτῶν. ΦΙΛ.
Τίνων ἐκράτησας σὺ γε ἀξιομάχων ἀνδρῶν, ὃς
ἀεὶ λῃστῶν ἀεὶ συνελαύνων, τοξεία καὶ πελτάρια,
καὶ γέρρα οἰσύινα σεσκεδασμένοις; Ἑλλήνων
κρατεῖν ἔργον ἦν, Βοιωτῶν, καὶ Φωκέων καὶ
Ἀθηναίων, καὶ τὸ Ἀρκάδων ὁπλιτικὸν, καὶ τὴν
Θετταλὴν ἵππον, καὶ τοὺς Ἠλείων ἀκοντι-
στὰς, καὶ τὸ Μαντινέων πελτασικόν· ἢ Θρᾷ-
κας, ἢ Ἰλλυριοὺς, ἢ καὶ Παίονας χειρώσασθαι,
ταῦτα μεγάλα. Μήδων δ', καὶ Περσῶν, καὶ
Χαλδαίων, καὶ χρυσοφόρων ἀνθρώπων, καὶ ἀ-
βρῶν, οὐκ οἶδα ὡς σοὶ μύριοι μὲν Κλεάρ-
χου ἀνελθόντες, ἐκράτησαν, ὅλην εἰς χεῖρας
ὑπομεινάντων ἐλθεῖν ἐκείνων, ἀλλὰ σὺν ἢ
τόξευμα ἐξικνεῖσθαι, φυγόντων; ΑΛΕΞ. Ἀλλ'
οἱ Σκύθαι γε, ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαν-
τες, οὐκ εὐκαταφρόνητόν πρᾶγμα· καὶ ὅμως ὑ διε-
σήσας αὐτοὺς, ὑδὲ σεσοφισμένοις ὠνέμμοις τὰς
νίκας, ἐκράτησαν αὐτῶν· ὑδ' ὑπώρκησα πώποτε,
ἢ ὑποχώμενος ἐψευσάμην, ἢ ἄπιστον ἔσεσθαί
τι τῶν νικῶν ἕνεκα, καὶ τοὺς Ἕλληνας δ', τοὺς μὲ
ἀναιμωτὶ παρέλαβον, Θηβαίους δ' ἴσως ἀκούεις
ὅπως μετῆλθον. ΦΙΛ. Οἶδα ταῦτα πάντα.
Κλεῖτόν γὸ ἀπήγχειλέ μοι, ὃν σὺ τῇ δορα-
τῷ διελάσας μεταξὺ δειπνοῦντα ἐφόνευσας,
ὅτι με σφὸς τὰς σὰς σεράξεις ἐπαινέσαι ἐτόλ-
μησε, σὺ δ' καὶ τοὺς Μακεδονικοὺς χλαμύδα
καταβαλὼν, κάνδυν, ὡς φασι, μετενέδυς· καὶ
πάρθον ὀρθοῦν ἐπέδυ, καὶ σεσκυωτίδα
ὑπὸ Μακεδόνων, ὑπ' ἐλευθέρων ἀνδρῶν
ἠξίους· καὶ τὸ πάντων γελοιότατον, ἐμίμεο τὰ
τῶν νενικημένων· ἐγὼ γὸ λέγειν ὅσα δηλα ἔ-
σεσαξας, λέγων συγκαταχλείων σεπαιδευμένους
ἀνδρας,

ἄνδρας, καὶ γάμους τοιούτους γαμῶ, καὶ Ἡφαιστίωνα ὑφαγαπῶν· ἓν ἐπήνεγκα μόνον ἀκύσας, ὅτι ἀπέχει τῆς τοῦ Δαρείου γυναικὸς καλῆς ὄψεως, καὶ τῆς μητρὸς αὐτοῦ, καὶ τῶν θυγατέρων ἐπεμελήθης· βασιλικὰ γὰρ ταῦτα. ΑΛΕΞ. Τὸ φιλοκίνδυνον δὲ, ὦ πάτερ οὐκ ἐπαινεῖς, καὶ τὸ ἐν Ὀξυδράκαις πρῶτον καταβάλλειν εἰς τὸ ἐντὸς τοῦ τείχους, καὶ τοσαῦτα λαβεῖν τραύματα; ΦΙΛ. Οὐκ ἐπαινῶ τοῦτο, ὦ Ἀλέξανδρε, οὐκ ὅτι μὴ καλὸν ᾖ) οἶμαι καὶ πρεπωδέστατα πρὸς τὸν βασιλέα, καὶ προκινδυνεύειν τοῦ σώματος, ἀλλ' ὅτι σοι τοιοῦτο ἄκυρα ζυμφέρει. Θεὸς γὰρ ᾖ) δοκῶν, εἶπόν σε προθυμούμενον, αἵματι ῥεόμενον, οἰμώζοντα ὅτι πρὸς τραύματι, ταῦτα γέλως ἦν τοῖς ὁρῶσι· καὶ ὁ Ἄμμων, γόης, καὶ ψαθόμαντις ἠλέγχετο, καὶ οἱ προφῆται, κόλακες· ἢ τίς οὐκ ἂν ἐγέλασεν, ὁρῶν τὸν τοῦ Διὸς υἱὸν λειποψυχοῦντα, δεόμενον τῶν ἰατρῶν βοηθεῖν; νυνὶ μὲν γὰρ ὁπότε ἤδη τέθνηκας, οὐκ οἶει πολλοὺς ᾖ) τοῦ τιμᾶν προσποίησιν ἐκείνῳ ὑπεκρεμαμένους, ὁρῶντας τὸν νεκρὸν τοῦ θεοῦ ἐκπαγλῳ κείμενον, μυδῶντα ἤδη καὶ ἐξωδηκότα, καὶ νόμον σωμάτων ἀπάντων; ἄλλως τε καὶ τὸ χρήσιμον, ὃ ἔφης Ἀλέξανδρε, τὸ διὰ τοῦτο κρατεῖν ῥᾳδίως, πολύ σε τῆς δόξης ἀφῃρεῖτο τῆς καλοῦ θαυμάτου· πᾶν γὰρ ἐδόκει ἐν δεεῖς ὑπὸ θεοῦ γίνεσθαι δοκοῦν. ΑΛΕΞ. Οὐ ταῦτα φρονοῦσιν οἱ ἄνθρωποι περὶ ἐμοῦ, ἀλλ' Ἡρακλεῖ καὶ Διονύσῳ ἐπάμυλλον πᾶσί με· καὶ τοι τῷ Ἄορνον ἐκείνῳ ὑπ' ἐτέρου ἐκείνων λαβόντα, ἐγὼ μόνος ἐχειρωσάμην. ΦΙΛ. Ὁρᾷς ὅτι ταῦτα ὡς ὑὸς Ἄμμωνος λέγεις, ὃς Ἡρακλεῖ καὶ Διονύσῳ παραβάλλεις σεαυτὸν, καὶ οὐκ αἰσχύνῃ, ὦ Ἀλέξανδρε,

ξανδρε, ἀλλὰ τ᾽ πύθον ἀπομαθήσῃ, καὶ γνώσῃ σαυτὸν, καὶ συνῆς ἤδη νεκρὸς ὢν;

Διάλογος κα΄.

Ἀχιλλέως καὶ Ἀντιλόχου.

ΑΝΤ. ΟΙΑ περὶ σοῦ, Ἀχιλλεῦ, πρὸς τὸν Ὀδυσσέα σοι εἰρῆσθαι ὑπὲρ τοῦ θανάτου, ὡς ἀλγυνῇ καὶ ἀνάξια τῶν διδασκάλων ἁμαρτήσῃ, Χείρωνός τ᾽ καὶ Φοίνικος· ἠκροώμην γὰρ ὁπότε ἔρης βάλεσθαι ἐπάρους ὤν, ἐπιθύειν τοῦτό τινι τῶν ἀχλήρων, ᾧ μὴ βίστος πολὺς εἴη μᾶλλον, ἢ πάντων ἀνάσσειν τῶν νεκρῶν· ταῦτα μὲν ἴσως ἀλγυνῇ τινα φρύγα δειλὸν, καὶ πέρα τοῦ καλῶς ἔχοντος φιλόζωον ἴσως ἐκείνῳ λέγειν· τὸ Πηλέως δὲ υἱὸν τὸν φιλοκινδυνότατον ἡρώων ἁπάντων, ταπεινὰ ὧδε περὶ αὐτοῦ διανοεῖσθαι, πολλὴ αἰσχύνη, καὶ ἐναντιότης πρὸς τὰ πεπραγμένα σοι ἐν τῷ βίῳ· ὃς ἔξὸν ἀχιλεῖ ἐν τῇ Φθιώτιδι πολυχρόνιον βασιλεύειν, ἑκὼν προεῖλε τὸν μετὰ τῆς ἀγαθῆς δόξης θάνατον.

ΑΧΙΛ. Ὦ πρὸ Νέστορος, ἀλλὰ τότε μὲν ἄπειρος ἔτι τοῦ ἐνταῦθα ὢν, καὶ τὸ βέλτιον ἐκείνων ὁπότερον ἦν ἀγνοῶν, τὸ δύσκλεον ἐκεῖνο δοξάριον προετίμων τοῦ βίου· νυνὶ δὲ ζωπυρῶ ἤδη, ὡς ἐκείνη μὲν ἀνωφελὴς, εἰ καὶ ὅ, τι μάλιστα οἱ ἄνω ῥαψῳδήσουσι, καὶ νεκρῶν ὁμοιμία. καὶ ὅτε τὸ κάλλος ἐκεῖνο, ὦ Ἀντίλοχε, ὅτε ἡ ἰσχὺς πάρεστιν, ἀλλὰ κείμεθα ἅπαντες ἐπὶ τῷ αὐτῷ ζόφῳ ὅμοιοι, καὶ καθ᾽ ἕδὲν ἀλλήλων διαφέροντες· καὶ ὅτε οἱ τῶν Τρώων νεκροὶ δεδίασί με, ὅτε οἱ τῶν Ἀχαιῶν δειλαπόδυσιν, ἰσηγορία δὲ ἀκριβὴς, καὶ

καὶ μεχρὶς ὅμοιος, ἡμῖν κακὸς, ἡδὲ καὶ ἐναλίος ταῦτά με ἀνιᾷ, καὶ ἄχθομαι ὅτι μὴ δηλαδὴ ζῶν. ΑΝΤΙΛ. Ὅμως τί ἂν εἴη πάθοι, ὦ Ἀχιλλεῦ; ταῦτα γὰρ ἔδοξε τῇ φύσει, πάντως ἀποθνήσκειν ἅπαντας· ὥστε χρὴ ἐμμένειν τῷ νόμῳ, καὶ μὴ ἀνιᾶσθαι τοῖς διατεταγμένοις· ἄλλως τε, ὁρᾷς δῆτα ἑταίρων ὅσοι σοὶ εἰσὶ, ἐνταῦθα οἶδε; μὴ μικρὸν ἢ καὶ Ὀδυσσεὺς ἀφίξεται πάντως. Φέρει γὰρ ἡ δεισιδαιμονία καὶ τὸ τοιόνδε, καὶ τὸ μὴ μόνον αὐτὸν πεπονθέναι Ὁρᾷς τὸν Ἡρακλέα, καὶ τὸν Μελέαγρον, καὶ ἄλλους θαυμαστοὺς ἄνδρας, οἱ οὐκ ἂν οἶμαι δέξαιντο ἀνελθεῖν, εἴπερ αὐτοῖς ἀναπέμψει δηλαδὴ συντάξεις ἀχλήρους καὶ ἀβίους ἀνδρός. ΑΧΙΛ. Ἐταπείνωκε μέν γε ἡ δειλαίνουσα· ἐπεὶ ἢ οὐκ οἶδ' ὅπως ἡ μνήμη τῆς δεδαπανημένης βίον ἀνιᾷ, οἶμαι ἢ καὶ ὑμᾶς ἔκαμεν· εἰ ἢ μὴ ὁμολογεῖτε, ταύτῃ χείρους ἐστὲ, καθ' ἡσυχίαν αὐτὸ πάσχοντες. ΑΝΤΙΛ. Οὐκ· ἀλλ' ἀμείνους, ὦ Ἀχιλλεῦ· τὸ γὰρ ἀνωφελὲς τοῦ λέγειν ὁρῶμεν· σιωπᾶν γὰρ, καὶ φέρειν, καὶ ἀνέχεσθαι, δέδοται ἡμῖν, μὴ καὶ γέλωτα ὀφλισκάνειν, ὥσπερ σὺ, τοιαῦτα διαλεγόμενοι.

Διάλογος κϛ'.

Μενίππου καὶ Ταντάλου.

ΜΕΝ. Τί' κλαίεις, ὦ Τάνταλε; ἢ τί ζέων αὐτὸν ὀδύρῃ, ὅτι τῇ λίμνῃ ἐγγύς; ΤΑΝ. Ὅτι, ὦ Μένιππε, ὑπόλωλα ὑπὸ τοῦ δίψους. ΜΕΝ. Οὕτως ἀργὸς εἶ ὡς μὴ ὀπικύψας πιεῖν, ἢ καὶ νὴ Δί' ἀρυσάμενος κοίλῃ τῇ χειρὶ; ΤΑΝ. Οὐδὲν ὄφελος εἰ ὀπικύψαιμι· φεύγει γὰρ τὸ ὕδωρ ἐπειδὰν προσίοντα αὐτὸ δηλαδὴ

αἴδηται μέ· ἢν δέ ποτε καὶ ἀρύσωμαι, καὶ φθάσασά μου τῷ στόματι, ἀφανὲς βρέξασα ἄκρον τὸ χεῖλος, καὶ διὰ τῶν δακτύλων διαρρυεῖσα, οὐκ οἶδ' ὅπως αὖθις ἀπολείπει ξηρὸν τὸν χεῖρα. ΜΕΝ. Τερατῶδες τὸ πάθος, ὦ Τάνταλε, ἀτὰρ εἰπέ μοι, τί γὰρ δεῖ σε πεῖν; οὐ γὰρ σῶμα ἔχεις, ἀλλ' ἐκεῖνο μὸν ὃν Λυδία πᾶσα κατέδαπται, ὄνος καὶ πετρῶν καὶ δένδρων ἐδύνατο· σὺ δὲ ἡ ψυχή, πῶς ἂν ἔτι ἢ διψώης, ἢ πίνοις; ΤΑΝ. Τοῦτ' αὐτὸ ἡ κόλασίς ἐστι, τὸ διψῆν μου τὸν ψυχρὸν ὡς σῶμα ὄντα. ΜΕΝ. Ἀλλὰ τοῦτο μὲν οὕτω πεδόσομεν, ἐπεὶ φὴς τῷ διψῆν κολάζεσθαι· τί δ' ἂν σοι τὸ δεινὸν ἔσαι; ἢ δίδυμος μὴ ἐνδεία τοῦ ποτοῦ ἀποθάνῃς; οὐχ ὁρῶ γὰρ ἄλλον μοι τοῦτον ἄδηλον, ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον. ΤΑΝ. Ὀρθῶς μοι λέγεις· καὶ τοῦτο δ' ἂν μέρος τῆς καλαδίκης. τὸ ὀπτυμεῖν πεῖν, μηδὲν δεόμενον. ΜΕΝ. Ληρεῖς, ὦ Τάνταλε, καὶ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς, ἀκρᾶτα γὰρ Ἑλλεβόρου νῦν Δία. ὅς σε τἀναντίον τοῖς ὑπὸ τῶν λυπούντων κακῶν δεδηγμένοις πέπονθας, οὐ τὸ ὕδωρ, ἀλλὰ τὸν διψαν περοσημαίνει. ΤΑΝ. Οὐδὲ τὸ Ἑλλέβορον, ὦ Μένιππε, ἀναίνομαι πεῖν, γένοιτό μοι μόνον. ΜΕΝ. Θαῤῥεῖ, ὦ Τάνταλε, ἔνδον ὡς ἔστε σὺ, ἔστε ἄλλος πίεται τῶν νεκρῶν, ἀδύνατον γάρ· καί τοι οὐ πάντες ὥσπερ σὺ ἐν καλαδίκης διψῶσι, τὸ ὕδατος αὐτοῦ οὐχ ὑπομένοντες.

Διάλογος

Διάλογος κγ'.

Μενίππου, καὶ Αἰακοῦ.

ΜΕΝ. Πρὸς τοῦ πλούτου, ὦ Αἰακέ, πεισθῆναί μοι τὰ ἐν ᾅδου πάντα. ΑΙ. Οὐ ῥᾴδιον, ὦ Μένιππε, ἅπαντα· ὅσα μέν τοι κεφαλαιώδη μάνθανε· ἔστι μὲν, ὅτι Κέρβερός ἐστιν, οἶδα· καὶ τὸν πορθμέα τοῦτον, ὃς σε διεπέρασε, καὶ τὴν λίμνην· καὶ τὸν Πυριφλεγέθοντα ἤδη ἑώρακας ἐπιών. ΜΕΝ. Οἶδα ταῦτα, καὶ σὲ, ὅτι πυλωρεῖς· καὶ τὸν βασιλέα εἶδον, καὶ τὰς Ἐριννῦς· τοὺς δ' ἀνθρώπους μοι τοὺς πάλαι δεῖξον, καὶ μάλιστα τοὺς ὀνομαστοὺς αὐτῶν. ΑΙ. Οὗτος μὲν Ἀγαμέμνων, ἐκεῖνος δ' Ἀχιλλεύς, ἐκεῖνος δὲ Ὀδυσσεύς· εἶτα Ἰδομενεὺς πλησίον· ἔπειτα Αἴας, καὶ Διομήδης, καὶ οἱ ἄλλοι τῶν Ἑλλήνων. ΜΕΝ. Βαβαὶ Ὅμηρε, οἷά σοι τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔρριπται, ἄγνωστα, καὶ ἄμορφα. κόνις πάντα, καὶ λῆρος πολύς, ἀμβλωπὰ ὡς ἀληθῶς χάρωπα· ἐκεῖνος δὲ, ὦ Αἰακέ, τίς ἐστι; ΑΙ. Κῦρός ἐστιν· ἐκεῖνος δὲ Κροῖσος· ὁ δ' ὑπὲρ αὐτὸν, Σαρδανάπαλος· ὁ δὲ ὑπὲρ τούτους, Μίδας· ἐκεῖνος δὲ, Ξέρξης. ΜΕΝ. Εἶτά σε ὦ κάθαρμα ἡ Ἑλλὰς ἔφερπε, ζυγνωύτα μὲν τὸν Ἑλλήσποντον, διὰ δὲ τῶν ὁρῶν πλεῖν ὑπεδυμοῦντα; οἷος δὲ καὶ ὁ Κροῖσός ἐστι; τὸν Σαρδανάπαλον δὲ ὦ Αἰακὲ, πατάξαι μοι χεὶρ κόρρης ὑπέρτερον. ΑΙΑΚ. Μηδαμῶς· δειλὸν γὰρ αὐτοῦ τὸ κεφάλιον, γυναικεῖον ὄν. ΜΕΝ. Οὐκοῦν, ἀλλὰ κεφαλύξομαί γε πάντως ἀνδρογυνώου ὄντος. ΑΙΑΚ. Βούλει δέ σοι ὑπόδειξω καὶ τοὺς σοφούς; ΜΕΝ. Νὴ Δία γε.

ΑΙΑΚ.

ΑΙΑΚ. Πρῶτος ἔτός σοι ὁ Πυθαγόρας ὅδι. ΜΕΝ. Χαῖρε, ὦ Εὔφορβε, ἢ Ἀπόλλων, ἢ ὅ, τι ἂν ἐθέλῃς. ΠΥΘ. Νὴ, καὶ σύ γε, ὦ Μένιππε. ΜΕΝ. Οὐκ ἔτι χρυσῆς ὁ μηρός σοι; ΠΥΘ. Οὐ γάρ· ἀλλὰ φέρε ἴδω, εἴ τι σοι ἐδώδιμον ἢ πίεσα ἔχει. ΜΕΝ. Κυάμους, ὦ γαθέ· ὥστε καὶ τοῦτό σοι ἐδώδιμον· ΠΥΘ. Δὸς μόνον, ἄλλα ὑδρηνεκρῆς δόσμαλα. ἔμαθον γὰρ ὡς ἥδιόν ἐστιν κύαμοι καὶ κεφαλαὶ τοκήων ἐνθάδε. ΑΙΑΚ. Οὗτος ὁ Σόλων ὁ Ἐξηκεστίδου, καὶ Θαλῆς ἐκεῖνος· καὶ παρ' αὐτοὺς, Πιττακὸς, καὶ οἱ ἄλλοι· ἔπα δὲ πάντες εἰσὶν ὡς ὁρᾷς. ΜΕΝ. Ἄλυποι ἔτοι, ὦ Αἰακὲ, μόνοι, καὶ φαιδροὶ σὺν ἄλλων· ὁ δὲ ἀποδὺς πλέως, ὥσπερ ἐγχρυσίας ἄρτος, ὁ ταῖς φλυκτάναις ὅλος ἐξιωθηκώς, τίς ὅδιν; ΑΙΑΚ. Ἐμπεδοκλῆς, ὦ Μένιππε, ἡμίεφθος ἀπὸ τῆς Αἴτνης παρών. ΜΕΝ. Ὦ χαλκόπους βέλπτε, τί παθὼν σαυτὸν ἐς τοὺ κρατῆρας ἐνέβαλες; ΕΜΠ. Μελαγχολία τις, ὦ Μένιππε. ΜΕΝ. Οὐ μὰ Δία, ἀλλὰ κενοδοξία, καὶ τύφος, καὶ πολλὴ κόρυζα· ταῦτά σε ἀπολωλεκώσιν αὐταῖς χρηπίσιν οὐκ ἄξιον ὄντα, πάλιν ἀλλ' ἥδέν σε τὸ σόφισμα ὠνήσεν· ἐφωράθης γὰρ τεθνεὼς ὁ Σωκράτης ὤν, ὦ Αἰακὲ, πῶ ποτε ἄρα ὅδι. ΑΙΑΚ. Μετὰ Νέστορος καὶ Παλαμήδους ἐκεῖνος ληρεῖ τὰ πολλά. ΜΕΝ. Ὅμως ἐβουλόμην ἰδεῖν αὐτὸν, εἴπερ ἐνθάδε ὅδιν. ΑΙΑΚ. Ὁρᾷς τὸν φαλακρόν; ΜΕΝ. Ἅπαντες φαλακροί εἰσιν· ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώρισμα. ΑΙΑΚ. Τὸν σιμὸν λέγω. ΜΕΝ. Καὶ τοῦθ' ὅμοιον· σιμοὶ γὰρ ἅπαντες. ΣΩΚ. Ἐμὲ ζητεῖς, ὦ Μένιππε; ΜΕΝ. Καὶ μάλα ὦ Σώκρατες. ΣΩΚ. Τί τὰ ἐν Ἀθήναις; ΜΕΝ. Πολλοὶ μὲν νέων φιλοσοφεῖν λέγουσι· καὶ

καὶ τάγε χείματα αὐτὰ καὶ τὰ βασίσματα εἰ θεάσαιό τις, ἄκρει φιλόσοφοι μάλα πολλοί, τὰ δ' ἄλλα ἐώρακας οἶμαι, οἷός ἦκε φοιτᾷ σοι Ἀείσιππος, καὶ Πλάτων αὐτὸς ὁ μὲ ἀποπνέων μύρα, ὁ δὲ τοῦ ἐν Σικελίᾳ τυράννυς θεραπεύειν ἐκμαθών. ΣΩΚ. Περὶ ἐμὲ δὲ τί φρονοῦσιν. ΜΕΝ. Εὐδαίμων, ὦ Σώκρατες, ἄνθρωπος εἶ, τάγε τοιαῦτα πάντες ἔν σε θαυμάσιον οἴονται ἄνδρα γεγωνέναι, καὶ πάντα ἐγνωκέναι ταῦτα· δεῖ γὰρ οἶμαι τἀληθὲς λέγειν, οὐδὲν εἰδότα. ΣΩΚ. Καὶ αὐτὸς ἔφασκον ταῦτα πρὸς αὐτούς· οἱ δὲ, εἰρωνείαν φέρουσα τὸ πρᾶγμα εἴη. ΜΕΝΙΠ. Τίνες δέ τοί εἰσιν οἱ περὶ σέ; ΣΩΚ. Χαρμίδης, ὦ Μένιππε, καὶ Φαῖδρος, καὶ ὁ τῆς Κλεινίας. ΜΕΝ. Εὖγε, ὦ Σώκρατες, ὅτι κἀνταῦθα μέτοχα τοῦ σαυτοῦ τέχνου, καὶ οὐκ ὀλιγωρεῖς τῶν καλῶν. ΣΩΚ. Τί γὰρ ἂν ἄλλο ἥδιον περίποιμι; ἀλλὰ πλησίον ἡμῶν κατάκεισο, εἰ δοκεῖ. ΜΕΝ. Μὰ Δί' ὅπου γε Κερβέριον γὰρ καὶ Σαρδανάπαλον ἄπειμι, πλουσίον οἰκήσων αὐτῷ· ἔοικα γοῦν οὐκ ὀλίγα γελάσεσθαι, οἰμωζόντων ἀκόντων. ΑΙΑΚ. Καὶγὼ ἤδη ἄπειμι, μὴ καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών· τὰ πολλὰ δ' ἐσαῦθις ὄψει, ὦ Μένιππε. ΜΕΝ. Ἀπιθι· καὶ γὰρ ἱκανὰ εἶ Αἰακέ.

Διάλογος κδ'.

Μενίππυ καὶ Κερβέρυ.

ΜΕΝ. Ὦ Κέρβερε, συσχολὴς γάρ εἰμί σοι, κύων καὶ αὐτὸς ὤν, εἰπέ μοι περὶ τῆς Σπυγόος, οἷός ἦν ὁ Σωκράτης ὁπότε καθῆκει

καλῆσι πρὸς ὑμᾶς· εἰκὸς δέ σε θεὸν ὄντα, μὴ ὑλακτεῖν μόνον, ἀλλὰ καὶ ἀνθρωπικῶς φθέγγεσθαι, ὁπότ' ἐθέλοις. ΚΕΡΒ. Πόρρωθεν μέ, ὦ Μένιππε, παντάπασιν ἐδόκει ἀηδέπω πεφοιτηκέναι καὶ ὑπὸ πάνυ δεδιέναι τὸν θάναλον δοκῶν· καὶ τοῦτ' ἐμοὶ ὦναι τοῖς ἔξω τοῦ στόματος ἐσῶσιν ἐθέλων· ἐπεὶ δὲ κατέκυψεν εἴσω τοῦ χάσματος, καὶ εἶδε τὸν ζόφον, καὶ ἐγὼ ἔπι διαμέλλοντα αὐτὸν ἀκκὼν τῷ κωνείῳ, κατέσπασα τοῦ ποδός, ὥσπερ τὰ βρέφη ἐκώκυε, καὶ τὰ ἑαυτῆς παιδία ὠδύρετο, καὶ παλοῖος ἐγένετο. ΜΕΝ. Οὐκοῦν σοφιστὴς ὁ ἄνθρωπος ἦν, καὶ οὐκ ἀληθῶς κατεφρόνει τοῦ πράγματος; ΚΕΡΒ. Οὔκ· ἀλλ' ἐπίσης ἀναισχυντότατος αὐτὸ ἑώρα, κατεθεατιώτευτο, ὡς δῆθεν οὐκ ἄκων πεισόμενος, ὃ πάντως ἔδει παθεῖν, ὡς θαυμάσωσιν οἱ θεαταί· καὶ ὅλως, ὦ Ἑρμῆ πάντων γε δὴ τοιούτων εἰπεῖν ἂν ἔχοιμι, ἕως τοῦ στόματος τολμηρὸν, καὶ ἀνδρεῖον, τὰ δ' ἔνδοθεν, ἔλεγχος ἀκριβής. ΜΕΝ. Ἐγὼ δὲ πῶς σοι καταληλυθέναι ἔδοξα; ΚΕΡΒ. Μόνος, ὦ Μένιππε, ἀξίως τῆς γλώττης, καὶ Διογένης περὶ σοῦ, ὅτι μὴ ἀναγκαζόμενοι ἐσήεσθε, μηδ' ὠθούμενοι, ἀλλ' ἐθελούσιοι γελῶντες, οἱμώζειν παρεγγείλαντες ἅπασιν.

Διάλογος κε'.

Χάρωνος καὶ Μενίππου.

ΧΑΡ. Ἀπόδος, ὦ κατάρατε, τὰ πορθμεῖα. ΜΕΝ. Βόα, εἰ τοῦτό σοι ἥδιον, ὦ Χάρων. ΧΑΡ. Ἀπόδος φημὶ ἀνθ' ὧν σε διεπορθμεύσαμεν. ΜΕΝ. Οὐκ ἂν λάβοις

λάβοις τοῦ τ' μὴ ἔχοντος. ΧΑΡ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων; ΜΕΝ. Εἰ μή καὶ πάνυ πως, οὐκ οἶδα· ἐγὼ δὲ, οὐκ ἔχω. ΧΑΡ. Καὶ μὴν ἄγξω σε, ἢ τ' Πλάτωνα, ὦ μακαρὲ, ἢν μὴ ἀποδῷς. ΜΕΝ. Κἀγὼ τῷ ξύλῳ σε πατάξας, διαλύσω τὸ κρανίον. ΧΑΡ. Μάτην ἂν ἔσῃ πεπλασκὼς πόσιον πλοῦν; ΜΕΝ. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὃς με παρέδωκέ σοι. ΕΡΜ. Νὴ Δία ὀναίμην, εἰ μέλλω γε καὶ ὑποδεκτίνειν τῶν νεκρῶν. ΧΑΡ. Οὐκ ἀποσήσομαί σου. ΜΕΝ. Τούτου γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον, ἀφόρμισε· πλοῦν δὴ ὃ γε μὴ ἔχων, πῶς ἂν λάβοις; ΧΑΡ. Σὺ δ' οὐκ ἤδεις ὡς κομίζειν δέον; ΜΕΝ. Ἤδειν μέν, οὐκ εἶχον δέ· τί ἦν, ἐχέλευε διὰ τοῦτο μὴ ἀποθανεῖν; ΧΑΡ. Μόνος ἦν αὐχήσεις πεποιηκὼς πεπλακέναι; ΜΕΝ. Οὐ πεποίηκα· βέλτιστε· καὶ γὰρ ἥντλησα, καὶ τ' κώπης ἐπελαβόμην, καὶ οὐκ ἔκλαιον μόνος τῶν ἄλλων ὁπλιτῶν. ΧΑΡ. Οὐδὲν ταῦτα πρὸς τὰ πορθμεῖα· τ' ὀβολὸν ἀποδοῦναί σε δεῖ· ἐγὼ γὰρ θέμις ἄλλως γρύζω. ΜΕΝ. Οὐκοῦν ἀπάγαγέ με αὖθις ἐς τ' βίον. ΧΑΡ. Χαίρειν λέγῃς, ἵνα καὶ πληγὰς ὅπι τούτῳ τοῦ τ' Αἰακοῦ πεφορτίσω. ΜΕΝ. Μὴ ἐνόχλει νῦν. ΧΑΡ. Δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις. ΜΕΝ. Θέρμας εἰ θέλῃς, καὶ τ' Ἑκάτης τὸ δεῖπνον. ΧΑΡ. Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τ' κυνᾶ ἤγαγες; οἷα δὲ καὶ ἐλάθει τοῦ τ' πλοῦν, τῶν ὁπλιτῶν ἁπάντων καταγελῶν, καὶ ὀπισκώπτων, καὶ μόνος ἅδων οἰμωζόντων ἐκείνων. ΕΡΜ. Ἀγνοεῖς, ὦ Χάρων, οἷόν ἄνδρα διεπορθμεύσας; ἐλεύθερον ἀκεραίως, κἀδένος ἀπῶ μέλει· σοφὸς ὄντως ὁ Μένιππος. ΧΑΡ. Καὶ μὴν ἄν σε λάβω πολύ; ΜΕΝ. Ἂν λάβῃς ὦ βέλτιστε, δὶς δὲ οὐκ ἂν λάβοις.

Διάλο-

Διάλογος κε'.

Διογένης καὶ Μαυσώλος.

ΔΙΟΓ. Ὦ κάρ' ὅτι τίνι μέγα φρονεῖς, καὶ πάντων ἡμῶν σεσπμᾶσαι ἀξιοῖς; ΜΑΥ. Καὶ ὅτι τῇ βασιλείᾳ μοι, ὦ Σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν ἐνίων καὶ νήσων δέ τινας ἐπηγαγόμην, καὶ ἄχει Μιλήτου ἐπέβαλον, τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος· καὶ καλὸς ἦν, καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός. τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ἐπικείμενον, πλίνον οὐκ ἄλλου νεκρός, ἀλλ' ὅδε ὅστις ἐς κάλλος ἐξησκημένων, ἵππων καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων λίθου τοῦ καμίσου, οὗ δὲ τὴν αὐρὴν τις ἂν ῥᾳδίως· ὡς δοκῶ σοι δικαίως ὅτι τούτοις μέγα φρονεῖν; ΔΙΟΓ. Ἐπὶ τῇ βασιλείᾳ φῂς, καὶ τῷ κάλλει καὶ τῷ βάρει τοῦ τάφου; ΜΑΥΣ. Νὴ Δί' ὅτι τούτοις. ΔΙΟΓ. Ἀλλ', ὦ καλὲ Μαύσωλε, ὅτε μὲν ἰσχὺς ἔπ σοι ἐκείνη, ὅτε μορφὴ πάρεστιν· εἰ γῦν τινα ἐλθόιμεθα δικαστὴν συμμορφίας τοῦ, οὐκ ἔχω εἰπεῖν τινος ἕνεκα τὸ σὸν κρανίον σεβασμηθείη ἂν τοῦ ἐμοῦ· φαλακρὰ γὰρ ἄμφω, καὶ γυμνά, καὶ τοὺς ὀδόντας ὁμοίως σεφαίνομεν, καὶ τοὺς ὀφθαλμοὺς ἀφῳρήμεθα, καὶ τὰς ῥῖνας ἀποστομώμεθα· ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι. Ἁλικαρνασσεῦσι μὲν ἴσως εἶεν ὀπωλείχνυσι, καὶ φιλοτιμεῖται σεὸς τοὺς ξένους, ὡς δὴ μέγα οἰκοδόμημα αὐτοῖς ὄζῃ· σὺ δέ, ὦ βέλτιστε, καὶ ὁρῶ ὅ, τι ἀπολαύεις αὐτοῦ πλὴν εἰ μὴ τοῦτο φῂς, ὅτι μᾶλλον ἡμῶν ἀχ-

ληδοφορεῖς

δοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πεζόμαχος.
ΜΑΤΣ. Ἀνόητα ἔν μοι ἐκεῖνα πάντα· καὶ ἰσόπαλος ἔσαι Μαύσωλος, καὶ Διοχάρης.
ΔΙΟ. Οὐκ ἰσόπαλος, ὦ γύναιόταται· ὁ γὰρ Μαύσωλος μὲν γὰρ οἰμώξει, μεμνημένος ἧς ὑπὲρ γῆς, ἐν οἷς εὐδαιμονεῖν ὤετο. Διοχάρης δὲ καταγελάσει αὐτοῦ· καὶ τάφον ὁ μὲν ἐν Ἁλικαρνασσῷ ἐρεῖ ἑαυτῷ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς, καὶ ἀδελφῆς κατεσκευάσθαι· ὁ Διοχάρης δέ, τῷ μὲ σώματος εἰ καί που τάφον ἔχει, οὐκ οἶδεν· οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτου· λόγον δὲ τοῖς ἀείσοις περὶ αὐτοῦ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκὼς ὑψηλότερον, ὦ Καρῶν ἀνδραποδίσατε τοῦ σοῦ μνήματος, καὶ ἐν βεβαιοτέρῳ χωρίῳ καθεσκευασμένον.

Διάλογος κζ'.

Νιρέως, Θερσίτου, καὶ Μενίππου.

ΝΙΡ. Ἦ δὴ Μένιππος οὗτος δικάσει, πότερος εὐμορφότερός ἐστιν· εἰπὲ, ὦ Μένιππε, οὐ κλαίων σοι δοκῶ; ΜΕΝ. Τίνες δὲ καὶ ἐστε, πρότερον οἶμαι χρὴ γὰρ τοῦτο εἰδέναι. ΝΙΡ. Νιρεὺς καὶ Θερσίτης. ΜΕΝ. Πότερος ὁ Νιρεὺς, καὶ πότερος ὁ Θερσίτης; οὐδέπω γὰρ τοῦτο δῆλον. ΘΕΡ. Ἐγὼ μὲν ἤδη τοῦτ' ἔχω, ὅτι ὅμοιός εἰμί σοι, καὶ οὐδὲν τηλικοῦτον διαφέρεις, ἤλικον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπῄνεσεν, ἀπάντων εὐμορφότατον πρότερον· ἐγὼ ὁ φοξὸς ἔχω, καὶ λεπτὸς, οὐδὲν χείρων ἐφάνην τῇ δίκῃ· ὥστε δέ σοι, ὦ Μένιππε,

Μένιππε, ὄνπνα καὶ συμορφότερον ἡγῇ. NIP. Ἐμὲ τὸν Ἀγλαΐας καὶ Χάροπος, ὃς κάλλιστος ἀνὴρ ἦλθον ἐπὶ Ἴλιον. MEN. Ἀλλ' οὐχὶ καὶ ἐπὶ γλῶ, ὡς οἶμαι, κάλλιστος ἦλθες· δηλαδὴ τὰ μὲν ὀστᾶ ὅμοια, τὸ δὲ κρανίον, ταύτῃ μόνον ἄρα διακείνοιτο ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅπι θρυπτὸν τὸ ζόν· ἀλλαπαδνὸν γὰρ αὐτό, καὶ οὐκ ἀνδρῶδες ἔχει. NIP. Καὶ μὴν ἔρα Ὅμηρον ὁπόιος ἦν ὁπότε ζωὸς ἐφάνη τοῖς Ἀχαιοῖς. MEN. Ὀνείρατά μοι λέγεις ἐγὼ δὲ ἃ βλέπω, καὶ νῦν ἔχεις, ἐκεῖνα δὲ οἱ τότε ἴσασιν. NIP. Οὐκοῦν ἐγὼ ἐνταῦθα εὐμορφότερός εἰμι, ὦ Μένιππε; MEN. Οὔτε σὺ, οὔτε ἄλλος εὔμορφος· ἰσοπμία γὰρ ἐν ᾅδου, καὶ ὅμοιοι ἅπαντες. ΘΕΡ. Ἐμοὶ μὲ καὶ τοῦτο ἱκανόν.

Διάλογος κη'.

Μενίππε καὶ Χείρωνος.

MEN. Ἥκω, ὦ Χείρων, ὡς θεὸς ὢν ὑπεθυμήσας ἀποθανεῖν. ΧΕΙ. Ἀληθῆ ταῦτ' ἤκουσας, ὦ Μένιππε· καὶ τέθνηκα, ὡς ὁρᾷς, ἀθάνατος εἶναι δυνάμενος. MEN. Τίς δέ σε ἔρως τοῦ θανάτου ἔσχεν ἀνεφάτου τοῖς πολλοῖς ζήτημα; ΧΕΙΡ. Ἔρως μείζων οὐκ ἀσωτέρου ὄντα· οὐκ ἦν ἔτι ἡδὺ ἀπολαύειν τῆς ἀθανασίας. MEN. Οὐκ ἦδυ ἦν, ζῶντα ὁρᾶν τὸ φῶς; ΧΕΙΡ. Οὐκ, ὦ Μένιππε· τὸ μὲν γὰρ ἡδύ, ἔγωγε ποικίλον τι καὶ οὐκ ἁπλοῦν ἡγοῦμαι εἶναι· ἐγὼ δὲ ζῶν ἀεὶ, καὶ ἀπολαύων τῶν ὁμοίων, ἡλίου, φωτὸς, προσώπων, αἷς ὥραις δὲ αὐταῖς, καὶ τὰ γινόμενα ἅπαντα ἐξῆς ἔκαστον,

ἕκαστον, ὥσπερ ἀκολουθοῦντα θατέρῳ, ἐνεπλήσθην γοῦν αὐτῶν· ὁ γὰρ ἐν τῷ ὑπνῷ ἀεὶ, ἀλλὰ καὶ ἐν τῷ μελαγχολᾶν ὅλως, τὸ τερπνὸν ἦν. MEN. Εὖ λέγεις, ὦ Χείρων· τὰ ἐν ᾅδου δὲ πῶς φέρεις, ἀφ' ἧς ἀπελήλυθας καὶ σὺ ἤκεις; XEIP. Οὐκ ἀηδῶς, ὦ Μένιππε· ἡ γὰρ ἰσονομία, πάνυ δημοτικὸν καὶ τὸ πρᾶγμα ἅδην ἔχει τὸ διάφορον ἐν φωτὶ εἶναι, ἢ ἐν σκότῳ ἄλλως τε, καὶ δικαίως ὥσπερ ἄνω, ὅτε πενιχροῦ δεῖ, ἀλλ' ἀνεπιδεεῖς τούτων ἁπάντων ἐσμέν. MEN. Ὅρα, ὦ Χείρων, μὴ πεπίπτῃς σαυτῷ, καὶ ἐς τὸ αὐτό σοι ὁ λόγος πρόσεισι. XEIP. Πῶς τοῦτο φῄς; MEN. Ὅτι εἰ τὴν ἐν τῷ βίῳ τὸ ὅμοιον ἀεὶ καὶ ταὐτὸν ἐγένετό σοι προσκορές, καὶ ἐνταῦθα ὅμοια ὄντα, προσκορῆ ὁμοίως ἂν γένοιτο, καὶ δεήσῃ μεταβολῆς γέ τινος καὶ ἐντεῦθεν ἐς ἄλλον βίον, ὅστις οἶμαι ἀδιάφορον. XEIP. Τί δ' ἂν πάθοι τις, ὦ Μένιππε; MEN. Ὅστις, οἶμαι, καὶ φασι, ζωητὸν ὄντα, ἀρέσκεσθαι καὶ ἀγαπᾶν τοῖς παροῦσι, καὶ μηδὲν αὐτῶν ἀφορητον οἴεσθαι.

Διάλογος κθ'.

Διογένης, Ἀνιαδένης, καὶ Κεφάλων.

ΔΙΟΓ. ΑΝιάδενες καὶ Κεφάλων, σχολὴ ἄγομεν· ὥστε τί οὐκ ἀπιμεν ἐνθυ τὸ καθόδου προπατήσοντες, ὑψόμενοι τοὺ καλιόνας οἵοί τινές εἰσι, καὶ τί ἕκαστος αὐτῶν ποιεῖ; ANT. Ἀπίωμεν, ὦ Διόγενες· καὶ γὰρ ἂν τὸ θέαμα ἡδὺ γένοιτο, τοὺ μὲν δακρύοντας

ονταϛ αὐτὴν ὁρᾶν, τοὺϛ δ' ἱκετεύονταϛ ἀφεθῆναι ἐνίκησ δ' ὁ μόλιϛ καλιόνταϛ, καὶ ὅτι τεράχιλον ὠθοῦντοϛ τοῦ Ἑρμοῦ, ὅμωϛ ἀνιβαίνοντα, καὶ ὑπτίουϛ ἀνιερεισόντα, ὑδὲν δέον.

ΚΡΑ. Ἐγὼ γοῦν καὶ διηγήσομαι ὑμῖν ἃ εἶδον, ὁπότε καταβαίνειν μέλλοι τὴν ὁδόν. ΔΙΟΓ. Διήγησαι ὦ Κράτιϛ, ἔοικαϛ γάρ τινα παγγελοῖα ἐρεῖν. ΚΡΑΤ. Καὶ ἄλλοι μὲν πολλοὶ συνκατέβαινον ἡμῖν. ἐν αὐτοῖϛ δ' ὁπλῖται, Ἰσμηνόδωροϛ τε ὁ Θηβαῖοϛ, ὁ Ἡμέτεροϛ, καὶ Ἀρσάκηϛ ὁ Μηδίαϛ ὕπαρχοϛ, καὶ Ὀξίτηϛ ὁ Ἀρμένιοϛ· ὁ μὲν ἓν Ἰσμηνόδωροϛ, ἐπεφόνευτο γὰρ ὑπὸ λῃστῶν φεύγων τὸν Κιθαιρῶνα, ἐϛ Ἐλευσῖνα οἶμαι βαδίζων, ἔξενέ τι, καὶ τὸ τραῦμα ἐν ταῖν χεροῖν εἶχε, καὶ τὰ παιδία τὰ νεοσσιὰ, ἃ κατελελοίπει, ἀνεκαλεῖτο, καὶ ἑαυτῷ ἐπεμέμφετο τῆϛ τόλμηϛ, ὃϛ Κιθαιρῶνα ὑπερβάλλων, καὶ τὰ περὶ τὰϛ ἐλευθερὰϛ χοιρία παιδάρια ὄντα ὑπὸ τὴν πολέμων, διοδεύων, δύο μόνουϛ οἰκέταϛ ἐπήγετο, καὶ ταῦτα, φιάλαϛ πέντε χρυσᾶϛ, καὶ κυμβία τέτταρα μεθ' ἑαυτοῦ ἔχων· ὁ δ' Ἀρσάκηϛ, γηραιὸϛ γὰρ ἤδη, καὶ νὴ Δί' οὐκ ἄσημοϛ τοῖϛ ὄμμιν ἐϛ τὸ βαρβαρικὸν, ἦλθετο, καὶ ἠναγκάζετο πεζὸϛ βαδίζων, καὶ ἡδέωϛ τὸ ἵππον αὐτῷ παρασχεθῆναι· καὶ γὰρ ὁ ἱππεὺϛ αὐτῷ συνεξεθήκῃ, μιᾷ πληγῇ ἀμφοτέρουϛ διαπαρέντεϛ ὑπὸ Θρᾳκὸϛ τιν ὁπλίταϛ ὄντε, ἐν τῇ ὁδῷ τῇ Ἀφίξῃ παρὰ τὸν Καππαδόκιον συμπλοκῇ· ὁ μὲν γὰρ Ἀρσάκηϛ ἐπήλαυνεν, ὡϛ διηγεῖτο, πολὺ τῶν ἄλλων προὔπεξορμήσαϛ· ὑποφὰϛ δ' ὁ Θρᾷξ, τῇ πάλτῃ μὲν ὑποδὺϛ, ἀποσείεται τὸν Ἀρσάκην κοντόν· ὡϛ δ' ὑποδεὶϛ τὰ σάρισαν, αὐτὸν τε διαπείρει, καὶ τὸ ἵππον.

ΑΝΤ. Πῶϛ οἷόν τε, ὦ Κράτιϛ, μιᾷ πληγῇ τοῦτο γενέσθαι; ΚΡΑΤ. Ῥᾴδιον, ὦ Ἀντιφάνηϛ· ὁ μὲν γὰρ ἐπήλαυνεν, εἰκοσάπηχυ

πνα

πνα χόλον προσβεβλημένον· ὁ Θρᾷξ δ', ἐπεὶ δὴ τῇ πέλτῃ ἀπεχράτατο τ προσβολῶν, κὴ παρῆλθεν αὐτὸν ἡ ἀκωκὴ, ἐς χόνυ ὀκλάσας, δέχε) τῇ φαρέτρῃ τλῶ ἐπέλαζιν, κὴ πρόσχει τ ἵππον ὑπὸ τὸ στέρνον, ὑπὸ θυμὸ κὴ σφοδρότητ) ἑαυτὸν διαπεφυτα, διελαυνόμ) δ' κὴ ὁ Ἀχαϊκὸς ἐς τ βυβῶνα διαμπὰξ ἀχρις ὑπὸ τ πυγμῶ· ὀφᾷς οἷον π ἐγχύελο, ὐ τ ἀνδρὸς, ἀλλὰ τ ἵππα μᾶλλον τὸ ἔργον, ἠγανάκ)ε δ' ὅμως, ὁμόπτμος ὢν τοῖς ἄλλοις, κὴ ἠξίω ἱππεὺς καπέναι· ὁ δέ γε Ὀρσίτης ὁ ἰδιώτης, κὴ πάνυ ἀπαλὸς τὼ πόδε, κὴ ὐδ' ἑξάναι χαμαὶ, ὐκ ὅπως βαδίζειν ἐδυνάλο· πάχεσι δ' αὐτὸ ἀτεχνῶς Μῆδοι πάντες, ἐπὶ τῶ ὑποζῶσι τῶν ἵππων, ὥσπερ οἱ ὀπὶ τῶν ἀκανθῶν ὑποβαίνοντες ἀκροποδιτὶ, μόλις βαδίζουσιν· ὥστε ἐπεὶ καταδαμὼν ἑαυτὸν, ἔκειτο, κὴ ὐδεμιᾷ μηχανῇ ἀνίστατο ἤθελεν, ὁ βέλτιστος Ἑρμῆς ἀφαιρεῖται αὐτὸν, ἐνόμισεν ἄχει πρὸς τὸ πορθμεῖον, ἐγὼ δ' ἐγέλων. ΑΝΤ. Κἀγὼ δ' ὅτε καθῆκεν, ὐδ' ἀνέμιξα ἐμαυτὸν τοῖς ἄλλοις, ἀλλ' ἀφεὶς οἰμώζοντας αὐτὸν, προσδραμὼν ὀπὶ τὸ πορθμεῖον, προσκαθέδομον χώραν, ὡς ἂν ὀπισθείως πλεύσαιμι· ἔδοξε τ πλεῖν δ', οἱ μὲ ἐδέκρυόν τ, κὴ ἐναντίον· ἐγὼ δ' μάλα ἑτεροπόμπων ἐν αὐτοῖς. ΔΙΟΓ. Σὺ μὲν ὦ Κρατης κὴ Ἀντίδοτες πιστὸν ἐτύχετε ξυνοδοιπόρων ἐμοὶ δ' Βλεψίας τ ὁ δανειστὴς, ὁ ἐκ Πειραιῶ, κὴ Λάμπις ὁ Ἀκαρνὰν, ξεναγὸς ὤν, κὴ Δάμις ὁ πλούσιος ἐκ Κορίνθυ, συσκατηνέχ)· ὁ μὲν Δάμις ὑπὸ τῶ παιδὸς ἐκ φαρμάκων ἀποθανών· ὁ δ' Λάμπις δι' ἔρωτα Μυρτίνη τ ἑταίρας, ἀποζώσας ἑαυτὸν· ὁ δ' Βλεψίας λιμῷ ἆθλιος ἐλέγ)το ἀπεσκληκέναι, κὴ ἐδόκει ὠχρὸς ἐς ὑποβολὴν, κὴ λεπτὸς ἐς τὸ ἀκριβέστατον φαινόμενος. ἐγὼ δ', καίτοι εἰδὼς,

ἀνέκριτον ὂν τὸ ἔργον ἀποθάνοι· εἶτα τῷ μὲν Δάμωνι αἰτιᾶμαι τὸ ἡδύ, ἐκ ἄδικα μέντοι ἔπαθες, ἔφην, ὑπ' αὐτοῦ, ὃς τάλαντα ἔχων ὁμοῦ χίλια, καὶ πεντῶν αὐτὸς ἐννενηκονταέτης ὤν, ὀκτωκαιδεκαέτες νεανίσκῳ τέτταρας ὀβολοὺς παρεῖχες· ζῇ δ', ὦ Ἀκαφνάν (ἔστιε γὰρ καὶ κἀκεῖνος), καὶ καθηρᾶτο τὴν Μυρτίῳ, τί αἰτιᾷ τὸν ἔρωτα, ζαυτὸν δὲ ὅς; ὃς τοῦ μὲν πολεμίους ὐδὲ πώποτε ἔπεισας, ἀλλὰ φιλοκινδύνως ἡσωνίζου περὶ τῆς ἄλλων· ὑπὸ δὴ τυχόντος παιδίσκαρα, καὶ δακρύων ὁπλάτων καὶ στεναγμῶν, ἑάλως ὁ γυναῖος· ὁ μὲν γὰρ Βλεψίας αὐτὸς, ἑαυτῷ καθηγόρει φθάσας πολλοῦ τοῦ ἄνοιαν, ὅτι κεκμαλα ἐφύλαττε τοῖς μηδὲν προσήκουσι καλοκαγαθίμοις εἰς ἀεὶ βιώσεσθαι ὁ μάταιος νομίζων πολλοῦ ἐμοί γε ὑ τοῦ τυχεῖαν τερπωλοῦ παρέχον τότε στενοῦσες· ἀλλ' ἤδη μὲ ὅτι τῷ σωμίῳ ἐσμὲν ὑποβλέπῃ χρὴ, καὶ ἀποσκοπεῖν πέρρωθεν τοὺ ἀφικνουμένους. Βαβαὶ πολλοί γε καὶ πικίλοι, καὶ πάνυ δακρύοντες, πλοῦ τῆς νεοσσῶν τούτων καὶ νηπίων· ἀλλὰ καὶ οἱ πάνυ γεγηρακότες ὀδύρονται τί τοῦτο; ἆρα τὸ φίλτρον αὐτοῦ ἔχῃ τὸ βίου; τοῦτον ἐν τ' ὑπέργηρων ἔρεσθαι βούλομαι· τί δακρύεις πλικιώτ' ὑπὸ δακών; τί ἀγανακτεῖς, ὦ βέλτιστε, καὶ ταῦτα, γέρων ἀφιγμένος; ἦπου βασιλεὺς ἦσθα; ΠΤΩ. Οὐδαμῶς. ΔΙΟΓ. Ἀλλὰ σατράπης; ΠΤΩ. Οὐδὲ τοῦτο. ΔΙΟ. Ἆρα ἐν ἐπλεῖες, εἶτα ἀνιᾷ σε τὸ πολλοῦ πεντῶν ὑπολιπέσθαι τεθνάναι; ΠΤΩ. Οὐδὲν πιεῖτον· ἀλλ' ἔπ μὲ ἐγεγόνειν ἀμφὶ τὰ ἐννενήκοντα βίον ἦ ἄπορον ἀπὸ καλάμου καὶ ὁρμιᾶς εἶχον, ἐς ὑποβολοῦ πλωχὸς ὤν, ἄτεχνός τ', καὶ πρεσβύτης χωλὸς, καὶ ἀμυδρὸν βλέπων. ΔΙΟΓ. Εἶτα τοιοῦτος ὢν, ζῆν ἤθελες; ΠΤΩ. Ναί· Ἡδὺ γὰρ ἦν τὸ φῶς, καὶ

καὶ τὸ τεθνάναι δεινὸν καὶ φοβερόν. ΔΙΟΓ. Παραπαίεις, ὦ γέρον, καὶ μεγαλαυχεῖ πρὸς τὸ λεχθέν, καὶ ταῦτα, ἡλικιώτης ὢν τῆς πορθμέως· τί ἂν οὖν τις λέγει πρὸς τοὺς νέους, ὁπόταν οἱ τηλικοῦτοι φιλόζωοί εἰσιν; ἐγὼ μὲν οὖν ἐχέλω διωκέν τὸν θάνατον, ὡς τοῦ ἐν τῇ γήρᾳ κακῶν φάρμακον· ἐπεὶ δ' ἀπίωμεν, μὴ καί τις ἡμᾶς ὑπίδῃ, ὡς ἀποδεξόμενοι βελτίονας, ὁρῶν πρὸς τὸ ζῆν εἰλυμένους.

Διάλογος λ'.

Αἴαντος καὶ Ἀγαμέμνονος.

ΑΓΑΜ. Εἰ' σὺ μανείς, ὦ Αἶαν, στασιάσας ἐπόνεσας, ἐμελίσας δὲ καὶ ἡμᾶς ἅπαντας, τί αἰτᾷ τὸν Ὀδυσσέα; καὶ πρώην ὅτε προσέβλεψας αὐτὸν, ὁπότε ἦκε μαινόμενον, ὅτε προσῆλθεν ἀξίωσας ἄνδρα συνεχιώτην, καὶ ἑταῖρον· δῆλον ὡς ὑποπτικῶς μεγάλα βαίνων, παρῄδεις. ΑΙΑ. Εἰκότως, ὦ Ἀγάμεμνον· αὐτὸς γάρ μοι τὴν μανίας αἰτίαν κατέστη, μόνος ἀνταξιωθεὶς ὅπλων τῶν ὅπλοις. ΑΓΑΜ. Ἠξίους δὲ ἀναμαχητὶ κρατεῖν ἁπάντων; ΑΙΑ. Ναὶ, τά γε τοιαῦτα· οἰκεῖα γάρ μοι ἦν ἡ πανοπλία, τὰ ἀνεμιᾶ γε ὄντα καὶ ὑμεῖς οἱ ἄλλοι πολὺ ἀμείνους ὄντες, ἀπεπαύσατε τὸν ἀγῶνα, καὶ παρεχωρήσατέ μοι τῆς ἄθλων· ὁ δὲ Λαέρτης, ὃν ἐγὼ πολλάκις ἔσωσα κινδυνεύοντα καταπεφεύγοι ὑπὸ τῶν Φρυγῶν, ἀμείνων ἀξίως ἦν, καὶ ὁπλισάμενος ἔχειν τὰ ὅπλα. ΑΓΑ. Αἰτῶ τοιγαροῦν, ὦ γενναῖε, τὴν Θέτιν, ἢ δέον σοι τὴν κληρονομίαν τῶν ὅπλων ἀφαι-

διδόναι συγχωρεῖ γε ὅπη, φέρε, ἐς τὸ κοινὸν κατέθετο αὐτά. ΑΙΑ. Οὐκ· ἀλλὰ ἡ Ὀδυσσεία, ὡς ἀνεκποίητη μόνος. ΑΓΑΜ. Συγχωρῶμεν, ὦ Αἴαν, εἰ ἄνθρωπος ὢν, ὠρέχθη δόξης ἡδίστης θεράσμαλος, ὑφ' ἣ καὶ ἡμῖν ἔκαστος κινδυνεύειν ὑπομένει, ἐπεὶ καὶ ἐπεράτησέ σε, καὶ ταῦτα θεοῖς δικασταῖς. ΑΙΑ. Οἶδα ἐγὼ, ὅπως με καλλίνικησεν, ἵνα μὴ λέγειν τι περὶ τῆς θεᾶς· ἡ γοῦν Ὀδυσσέα μὴ καὶ μισεῖν ἔχ' ἂν δικαίως, ὦ Ἀγάμεμνον, εἰ αὐτή μοι Ἀθηνᾶ τοῦτο ὑπετάπου.

Διάλογος λα'.

Μίνως καὶ Σωκράτης.

MIN. Ὁ μὲν λῃστὴς οὗτος Σώκρατος, ἐς τὸ Πυριφλεγέθοντα ἐμβεβλήσθω· ὁ δ' ἱεροσύλος ὑπὸ τῆς Χιμαίρας διασπαράττω· ὁ δὲ τύραννος, ὦ Ἑρμῆ, φέρε τὸν Τιτυὸν ἀπόλαβε, ὑπὸ τῆς γυπῶν κειρέσθω καὶ αὐτὸς τὸ ἧπαρ· ὑμεῖς δὲ οἱ ἀγαθοὶ ἄπιτε κατὰ τάχος ἐς τὸ Ἠλύσιον πεδίον, καὶ τὰς μακάρων νήσους κατοικεῖτε, ἀνθ' ὧν δίκαια ἐπιεῖτε φέρε τὸν βίον. ΣΩΣΤ. Ἄκουσον, ὦ Μίνως, εἴ σοι δίκαια δόξω λέγειν. MIN. Νῶν ἀκούσω αὖθις· ἤδη γὰρ ἐξελήλεγξαι, ὦ Σώκρατες, πονηρὸς ὤν, καὶ τοσούτους ἀπεκτονώς; ΣΩΣ. Ἐλήλεγμαι μέν, ἀλλ' ὅρα, εἰ δικαίως κολασθήσομαι. MIN. Καὶ πάνυ, εἴγε ἀποτίνειν τὴν ἀξίαν δίκαιον. ΣΩΣ. Ὅμως ἀπόκειναί μοι ὦ Μίνως· βραχὺ γάρ τι ἐρήσομαί σε. MIN. Λέγε μὴ μακρὰ μόνον, ὅπως καὶ τοὺς ἄλλους διακείνωμεν ἤδη. ΣΩΣ. Ὁπόσα ἔφαγον ἐν τῷ βίῳ, πότερα ἐκὼν ἔφαγον,

πεφαῦλον, ἢ ἐπεκέκλωσό μοι ὑπὸ τῆς μοίρας; MIN. Ὑπὸ τῆς μοίρας δηλαδή. ΣΩΣΤΡΑ. Οὐκοῦν καὶ οἱ χρησοὶ ἅπαντες, καὶ οἱ πονηροὶ δοκοῦντες ἡμεῖς, ἐκείνῃ ὑπηρετήσαντες, ταῦτα δρῶμεν. MIN. Ναὶ, τῇ Κλωθοῖ, ἢ ἑκάστῳ ἐπέταξε γονηθέντι τὸ πρακτέα. ΣΩΣ. Εἰ δέ τις ἀναπεπεισθεὶς ὑπ' ἄλλου φονεύσειέν τινα, ἢ δωσάμενος ἀνηλέγειν ἐκείνῳ βιαζόμενος, οἷον δίκαιος ἢ δορυφόρος, ὁ μὴ δικασῇ πειθεὶς, ὁ ἢ τυραννῶν, τίνα αἰτιάσει τῶν φόνων; MIN. Δῆλον ὡς τὴν δικάσαντα, ἢ τὸν τύραννον, ἐπεὶ καὶ τὸ ξίφος αὐτὸ ὑπηρετεῖ καὶ τοῦτο ὄργανον ὂν πρὸς τὴν ὀργὴν, τῷ πρώτως πεπραχότι τὴν αἰτίαν. ΣΩΣΤ. Εὖγε, ὦ Μίνως, ὅτι καὶ ὀφθαλμιᾷς τῷ πεφασμένῳ· ἢν δέ τις ἀποστείλας τὸν ἀπατότην, ἵνα αὐτὸς χρυσὸν ἢ ἄργυρον κομίζων, τινὶ τὴν χάριν ἴσον, ἢ τινα εὐεργέτησε ἀναγκαῖον; MIN. Τὸν πέμψαντα, ὦ Σώσερατε· διάκονον καὶ ὁ κομίσας ἦν. ΣΩΣ. Οὐκοῦν ὁρᾷς, πῶς ἄδικα ποιεῖς κολάζων ἡμᾶς ὑπηρέτας καὶ ὀργάνους, ὧν ἡ Κλωθὼ προσέταξε, καὶ τούτους πικρῶς τοὺς διακονησαμένους δημοσίοις ἀγαθοῖς; ἢ καὶ σὺ ἐκεῖνο εἰπεῖν ἔχοις τις ἂν, ὡς ἀνηλέγειν δίκαιον ἦν, πᾶσι μὴ πάσης ἀνάγκης προσταγμένοις. MIN. Ὦ Σώσερατε, πολλὰ ἴδοις ἂν καὶ ἄλλα ἢ κατὰ λόγον γινόμενα, εἰ ἀκριβῶς ἐξετάζοις· πλὴν ἀλλὰ σὺ τοῦτο ὑπολαύσῃς τῆς ἐπερωτήσεως· διότι ἢ λῃστὴς μόνον, ἀλλὰ καὶ ζοφιστής τις εἶ) δοκεῖς· ὑπόλυσον αὐτὸν, ὦ Ἑρμῆ, καὶ μηκέτι κολαζέσθω· ὅρα δὲ, μὴ καὶ τοῦ Ἅιδου νεκρὸς ἐρωτᾷν τὰ ὅμοια διδάξῃς.

Διάλογος λϛ'.

Μένιππος ἢ Νεκυομαντεία.

ΜΕΝΙΠΠΟΣ, ΦΙΛΩΝΙΔΗΣ.

ΜΕΝ. Ὦ χαῖρε μέλαθρον, πρόπυλά θ' ἑστίας ἐμῆς.
Ὡς ἄτιμός σ' ἐτεῖσον, ὡς φάος μολών.

ΦΙΛΩΝ. Οὐ Μένιππος ἕτος ὅδιν ὁ Κύων; ἐμενῶν ἀηδῶς, εἰ μὴ ἐγὼ ὑπαβλέπω Μενίππε ὅλε· τί δ' αὖπω βάλεις τὸ ἀηδόχολον τῆς χίμαιρος, πῶλος ἢ λύρα ἢ λεοντῆ; προσιτέον δὲ ὅμως αὖτῷ· Χαῖρε, ὦ Μένιππε· ἢ πόθεν ἡμῖν ἀφῖξαι; πολὺν γὰρ χρόνον ἀπέφηνας ἐν τῇ πόλει. ΜΕΝ.

Ἥκω νεκρῶν καθημένα, καὶ Ἅιδου πύλας λιπών,
Ἵν' ἄδης χρεὼς ὤχεσαι θεῶν.

ΦΙΛ. Ἡρακλεῖς· ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανών, κἀτ' ἐξ ὑπαρχῆς ἀναβεβίωκεν; ΜΕΝΙΠ.

Οὔκ· ἀλλ' ἔτ' ἔμπνουν αἰδῆ μ' ἐδέξατο.

ΦΙΛ. Τίς δ' ἡ αἰτία σοι τῆς καινῆς καὶ παραδόξου ταύτης ἀποδημίας; ΜΕΝ.

Νεότης μ' ἐπῆρε, καὶ θεράπων νεὸς πλέον.

ΦΙΛ. Παῦσαι μανάεις τραγῳδῶν, καὶ λέγε ἑτοιμότερον ἁπλῶς καταβὰς ἀπὸ τῆς ἰαμβείου, τίς ἡ σχολή; τί σοι τῆς κάτω πορείας ἐδέησεν; ἄλλως γὰρ οὐκ ἦν δεῖά τις, ἐξὸν ἀσπάσιος ἡ ὁδός. ΜΕΝ.

Ὦ φιλότης, χρεὼ μὲ κατήγαγον εἰς Ἅιδαο,
Ψυχῆ χρησόμενον Θηβαίου Τειρεσίαο.

ΦΙΛ. Οὕτως; ἀληθῆ παραπαίεις· ἢ γὰρ ἂν ἔτως ἐμμέτρως ἐρραψῴδεις πρὸς ἄνδρας φίλους. ΜΕΝΙΠ. Μὴ θαυμάσῃς, ὦ ἑταῖρε· νεωστὶ

νεως τὸ Εὐριπίδη καὶ Ὁμήρῳ συγχωρούμενος, οὐκ οἶδ' ὅπως ἀνεπλήσθην τῆς ἐπῶν, καὶ αὐτόματά μοι τὰ μέτρα ὅτι τὸ σῶμα ἔρχεται· ἀτὰρ εἰπέ μοι, πῶς τὰ κατὰ γῆς ἔχει, καὶ τί ποιοῦσιν ἐν τῇ πόλει; ΦΙΛ. Καινὸν οὐδέν, ἀλλ' οἷα καὶ πρὸ τοῦ, ἁρπάζουσιν, ἐμπορεύονται, τοκογλυφοῦσιν, ὀβολοστατοῦσιν. ΜΕΝ. Ἄθλιοι καὶ κακοδαίμονες· ἃ γὰρ ἴσασιν, οἷα ἔναιχον νεκύρων ἐν τοῖς κάτω, καὶ οἷα κεχηνότων τὰ ψηφίσματα καὶ τὴν πολιτείαν, ἃ μὰ τὸν Κέρβερον, οὐδεμίᾳ μηχανῇ τοῦ διαφυγεῖν αὐτούς. ΦΙΛ. Τί οὖν; δέδοκταί τε νεώτερον τοῖς κάτω περὶ τῆς ἐνθάδε; ΜΕΝ. Νὴ Δία καὶ πολλά· ἀλλ' ἡ δίκη ἐπιφέρουσα αὐτὰ πρὸς ἅπαντας, οὐδὲ τὰ ἀπόῤῥητα ἐξαναδύεται, μὴ καί πῃ ἡμᾶς γράψεται γραφὴν ἀσεβείας ὅτι τοῦ Ῥαδαμάνθου. ΦΙΛ. Μὴ δαμῶς, ὦ Μένιππε, πρὸς τοῦ Διός, μὴ φθονήσῃς τῆς λόγων φίλῳ ἀνδρί· πρὸς γὰρ εἰδότα σιωπᾶν ἐρεῖς τάτ' ἄττα, καὶ πρὸς μεμυημένον. ΜΕΝ. Χαλεπὸν μὲν ὑπατάπεις τὸ πίταγμα, καὶ ἡ πάλη ἀσφαλής· πλὴν ἀλλά σοῦ γε ἕνεκα τολμητέον· ἔδοξε δὴ τοῖς πλουσίοις τέτας καὶ πολυχρημάτοις, καὶ τὸ χρυσίον καταλείψαν, ὥσπερ τοῖς Δαναΐσι φυλάττοντας

---

2 ΦΙΛ. Μὴ πρότερον εἴπῃς, ὦ ἀγαθέ, τὰ δεδογμένα, πρὶν ἐκεῖνα διελθεῖν, ἃ μάλιστ' ἂν ἥδέως ἀκούσαιμί σου ὅπως αἴτια σοι τῆς καθόδου ἐγένετο, τίς τε ὁ τῆς πορείας ἡγεμών· εἶτ' ἐξῆς ἅττα εἶδες, ἅττα ἤκουσας παρ' αὐτοῖς· εἰκὸς γὰρ δὴ φιλόκυνον ὄντα σε, μηδὲν τῶν ἀξίων θέας ἢ ἀκοῆς παραλιπεῖν. ΜΕΝ. Ὑπεργνητέον καὶ ταῦτά σοι τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος ἀνὴρ βιάζοιτο; καὶ δὴ πρῶτά σοι λέξω τὴν γνώμην τὴν ἐμὴν

μίων, καὶ ὅθεν ὁρμήσω πρὸς τὴν κατάβασιν· ἐγὼ γὰρ ἄλλοι μὲν ἐν παισὶν ἦν ἀκόων Ὁμήρου καὶ Ἡσιόδου πολέμους καὶ στάσεις δικαιοτάτων, ἢ μόνον τὴν ἡμιθέων, ἀλλὰ καὶ αὐτὴν ἤδη τὴν θεῶν, ἔπι δὲ καὶ μοιχείας αὐτῶν καὶ βίας καὶ ἁρπαγὰς καὶ δίκας, καὶ πατέρων ἐξελάσεις, καὶ ἀδελφῶν γάμους, πάντα ταῦτα ἡγούμην εἶναι καλά, καὶ ἃ παρέργως ἐκεινούμην πρὸς αὐτά· ἐπεὶ δὲ εἰς ἄνδρας τελεῖν ἠρξάμην, πάλιν αὖ ἐνταῦθα ἦκουν τὴν νόμων ταναντία τοῖς ποιηταῖς κελευόντων, μήτε μοιχεύειν, μήτε κλέπτειν, μήτε ἁρπάζειν, ἐν μεγάλῃ δὲ καθεστήκῃ ἀμφιβολίᾳ, οὐκ εἰδὼς ὅπῃ χρησαίμην ἐμαυτῷ· ὅτε γὰρ τοὺς θεοὺς ἄν ποτε ἡγούμην μοιχεύσαι, καὶ στασιάσαι πρὸς ἀλλήλους, εἰ μὴ ὡς τῶν κρειττόνων τούτων ἐγίνωσκον, ὅτ' ἂν τοὺς νομοθέτας ταναντία τούτοις παραινεῖν, εἰ μὴ λυσιτελεῖν ὑπελάμβανον.

3. Ἐπεὶ δὲ διηπόρουν, ἔδοξέ μοι ἐλθόντα πρὸς τοὺς καλουμένους τούτους φιλοσόφους, ἐρέσθαι τ' ἐμαυτὸν καὶ δεηθῆναι αὐτῶν χρῆσαί μοι, ὅπῃ βελτίων, καὶ τίνα ὁδὸν ἁπλῶς καὶ βεβαίαν ὑποδείξαι τοῦ βίου· ταῦτα μὲν δὴ φέρων παρεσήειν αὐτοῖς ἐληλύθειν δ' ἐμαυτὸν ἐς αὐτό, φασι, τὸ πῦρ ἐκ τοῦ καπνοῦ βιαζόμενος. πρὸς γὰρ δὴ τούτοις μάλιστα δεινὸν ὁπόσκοπῶν τ' ἄγνοιαν καὶ τ' ἀπορίαν πλείονα, ὥστε μοι τάχιστα χρυσοῦν ἀπέδειξαν ὅτοι τ' τὴν ἰδιωτῶν βίον ἀμέλει, ὁ μὲν αὐτὴν παρήνει τὸ πᾶν ἡδέως, καὶ μόνον τοῦτο ἐκ παντὸς μεπέναι τοῦτο γὰρ εἶναι τὸ εὐδαιμον· ὁ δέ τις ἔμπαλιν, πονεῖν τὰ πάντα, καὶ μοχθεῖν, καὶ τὸ σῶμα καταναγκάζειν, ῥυπῶντα καὶ αὐχμῶντα, καὶ πᾶσι δυσαρεστοῦντα, καὶ λοιδορούμενον, ὑπερχὲς ὀπτρατοφώδων τὰ πάνδημα ἐκεῖνα τοῦ Ἡσιόδου περὶ τ' ἀρετῆς ἔπη, καὶ τ' ἱδρῶτα, καὶ

καὶ τὴν ὅτι τὸ ἄκρον ἀνάβασιν· ἄλλος καταφρονεῖν χρημάτων παρεκελεύετο, καὶ ἀδιάφορον εἶναι τὴν κτῆσιν αὐτῶν· ὁ δέ τις αὖ πάλιν ἀγαθὸν εἶναι καὶ τὸ πλοῦτον αὐτὸν ἀπεφαίνετο· τοῖς μὲν γὰρ τὰ κόσμια τί χρὴ καὶ λέγειν; ὅς γε ἰδέας, καὶ ἀσώματα, καὶ ἄτομος, καὶ κενὰ, καὶ τοιοῦτόν τινα ὄχλον ὀνομάτων ὁσημέραι παρ' αὐτῶν ἤκουον ἐναντίων, καὶ τὸ πάντων δεινῶν ἀτοπώτατον, ὅτι τοῖς ἐναντιωτάτων ἔχας αὐτῶν λέγων, σφόδρα νικῶντας καὶ πιθανὰς λόγους ἐποιεῖτο, ὥστε μήτε τῷ θερμὸν τὸ αὐτὸ πρᾶγμα λέγοντι, μήτε τῷ ψυχρὸν, ἀντιλέγειν ἔχειν, καὶ ταῦτα εἰδότα σαφῶς, ὡς οὐκ ἂν ποτε θερμὸν τι εἴη καὶ ψυχρὸν ἐν ταὐτῷ χρόνῳ· ἀτεχνῶς δὲ ἔπασχον τοῖς νυσταζουσι τούτοις ὁμοιον, ἆρα μὲ, ὅπου δύο ἄρα ἦ, ἀναπαίων ἔμπαλιν ἔπ, ἢ πολλῷ τοῦτο ἐκείνων ἀτοπώτερον, τοὺς γὰρ αὐτοὺς τούτους δύεισκον ὀπτησῶν, ἐναντιώτατα τοῖς αὐτῶν λόγοις ὀπτησδίοντας· τοὺς γοῦν καταφρονεῖν πρᾶγμάτων φάσκοντας, ἑώρων ἀφειξ ἐχομένους αὐτῶν, καὶ πρὸς τόκων διαφερομένους, καὶ ὅτι μαθῶν παισδίοντας, καὶ πάντα ἕνεκα τούτων ὑπομένοντας· τοὺς τὴν δόξαν ὑποβαστάζοντας, αὐτῆς ἕνεκα πάντα ὀπτησδίοντας· ἡδονῆς τε αὖ χάριν ἅπαντας καταφρονοῦντας· ἰδίᾳ δὲ μόνῃ ταύτῃ προσκαρτεροῦντας· ζηλοῖς ἂν καὶ ταύτης τῆς ἐλπίδος, ἔπ μᾶλλον εὐθυμοῦμαι, ἐρέσθαι προθυμούμενος ἐμαυτὸν, ὅτι μὴ πολλῶν καὶ ζόρων, καὶ σόφρα ὅτι σωφρόσι διαβεβοημένων ἀνόητός τε εἰμι, καὶ ταλαιπὴς ἔπ ἀγνοῶν προσέρχομαι.

4. Καὶ μοί ποτε διαζευπνεύσαντι τούτων ἕνεκα, ἔδοξεν ἐς Βαβυλῶνα ἐλθόντα, δεηθῆναι τοῦ μάγου, τοῦ Ζωροάστρου μαθητοῦ καὶ

διαδόχων· ἦκον δ' αὐτοῦ ἐπῳδαί τε καὶ τελεταὶ ποιν ἀνοίγειν τε τὰ ἅδε τὰς πύλας, καὶ καταγειν ὃν ἂν βούλωνται ἀσφαλῶς, καὶ ὀπίσω αὖθις ἀναπέμπειν ἄρειον ἦν ἡγούμενον εἶδον δὲ καὶ τούτων διαπεραξάμενον τινὰ κατάβασιν, ἐλθόντα δὲ πρὸς Τειρεσίαν τὸν Βοιώτιον, μαθεῖν παρ' αὐτοῦ, ὅτε μάντεως καὶ ζοφῶς, τίς ὁδὸς ὁ ἄριστος βίου, καὶ ὃν ἄνπις ἕλοιτο εὐπορώτατον· καὶ δὴ ἀναπαυσάμενος ὡς εἶχον τάχους, ἔτεινον ἐυθὺ Βαβυλῶνος· ἐλθὼν δέ, συγγίνομαί τινι τῶν Χαλδαίων σοφῷ ἀνδρὶ καὶ δεσποτείῳ τινὶ τέχνην, πολιῷ μὲν τὸν κόμην, γένειον δὲ μάλα σεμνὸν καθειμένῳ, τέρετρα δὲ ἦν αὐτῷ Μιθροβαρζάνης· δεηθεὶς δὲ καὶ καταπτήξας, μόλις ἔτυχον παρ' αὐτοῦ ἐφ' ὅτῳ βούλοιτο μαθεῖν καθηγήσασθαί μοι τῆς ὁδοῦ· παρελαβὼν δέ με ὁ ἀνὴρ, πρῶτα μὲν ἡμέρας ἑπτὰ καὶ εἴκοσιν ἅμα τῇ σελήνῃ ἀρξάμενος ἔλυε, καταγων ὅτι πρὸς Εὐφράτην, ἔωθεν πρὸς ἀνατέλλοντα τὸν ἥλιον, ῥῆσίν τινα μακρὰν ὑπολέγων, ἧς ὁ σφόδρα κατήκουον· ὥσπερ γὰρ οἱ φαῦλοι τῶν ἐν τοῖς ἀγῶσι κηρύκων, ὑπέτρεχόν τε καὶ οὐκ ἀσφαλὲς ἐφθέγγετο, πολλοὺς ἐμοὶ ἐοικὼς γε πρὸς ὑπαλεῖσθαι δαίμονας· μὴ γὰρ ἐπῳδοῦ τεὸς ἂν μοι πρὸς τὸ πρόσωπον ἐπιπτύσας, ἐπανήει πάλιν, ὡδέ πως τῶν ἀπάντων προσβλέπων· καὶ σπᾶ μὲν ἡμῖν τὰ ἀκρόδρυα, ποτὸν δὲ γάλα, καὶ μελίκρατον, καὶ τὸ τοῦ Χοάσπου ὕδωρ· ἐυνὴ δὲ ὑπαίθριος· ὅπου πᾶς· ἐπεὶ δὲ ἅλις εἶχε τῆς προσλαλιᾶς ἐκείνης μέτας νύκτας ὅτι τὸν Τίγρητα ποταμὸν ἀγαγὼν, ἐκάθηρέ τε μου καὶ ἀπέμαξε, καὶ προσηγνισε δαδὶ καὶ σκίλλῃ, καὶ ἄλλοις πολλοῖσιν, ἅμα καὶ τῷ ἐπῳδῷ ἐκείνῳ ὑποτονθορύσας· εἶτα ὅλον με καταμαγδάσας, καὶ περιελθὼν, ἵνα μὴ βλαπτοίμην ὑπὸ τῶν φαντασμάτων,

λασμάτων, ἐπανάγῃ ἐς τὴν οἰκίαν, ὡς εἶχον ἀναποδίζοντα· καὶ τὸ λοιπὸν ἀμφὶ πλοῦν εἶχομεν· αὐτὸς μὲν ἦν Μαλικλεῖ τὴν ἕλξι σολεῖ, τὰ πολλὰ ἐοικὼς τῇ Μηδικῇ· ἐμὲ δὲ τετοισὶ φέρων ἐνετκλίασε πρὸ πλοῦ καὶ τῇ λεοντῇ, καὶ ὑποστὰς τῇ λύρᾳ, καὶ παρεκελεύσατο, ἤν τις ἔρηται με τὸνομα, Μένιππον μὲ μὴ λέγειν, Ἡρακλέα δὲ ἢ Ὀδυσσέα ἢ Ὀρφέα. ΦΙΛ. Ὡς δὴ τί τοῦτο, ὦ Μένιππε; ἐγὼ συνίημι τὴν αἰτίαν ὅτε τοῦ σώματος, ὅτε δὲ ὀνομάτων.

MEN. Καὶ μὴν ὑποψίαν γε τοῦτο, καὶ ἐπαντελῶς ἀπόρρητον· ἐπεὶ γὰρ ὅτι πρὸ ἡμῶν ζῶντες ἐς ᾅδου καταληλύθεμεν, ἠγεῖτο, εἴ με ἀπειπάσθαι αὐτοῖς, ῥᾳδίως ἂν τὴν τοῦ Αἰακοῦ φρουρὰν διαλαθεῖν, καὶ ἀκωλύτως παρελθεῖν. ὅτε συνηδέστερον πρὸς μάλα ὑπεμπόμενον ὑπὸ τοῦ σώματος.

5. Ἤδη δὲ ἦν ὑποφαίνουσα ἡμέρα, καὶ καταλαβόντες ὅτι τὸν ποταμὸν, πρὸς ἀναγωγὴν ἐγυγνόμεθα· παρεσκεύαστο δ' αὐτῷ καὶ σκάφος, καὶ ἱερεῖα, καὶ μελίκρατα, καὶ ἄλλα ὅσα πρὸς τὴν τελετὴν χρήσιμα· ἐμβαλόμενοι δὲ ἅπαντα τὰ παρεσκευασμένα, ὅπου δὴ καὶ αὐτοὶ

Βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες.

Καὶ μέχρι μὲν τοῦ ὑποφεύγομεν ἐν τῷ ποταμῷ· εἶτα δ' ἐσπλέομεν ἐς τὸν ἕλος καὶ τὴν λίμνην, ἐς ἣν ὁ Εὐφράτης ἀφανίζεται· περαιωθέντες δὲ καὶ ταύτην, ἀφικνούμεθα ἐς πεδίον ἔρημον καὶ ὑλώδες, καὶ ἀνήλιον, ἐς ὃ ἐμβάντες, (ἡγεῖτο δὲ ὁ Μιθροβαρζάνης) βόθρον τε ὠρυξάμεθα, καὶ τὰ μῆλα ἐσφάξαμεν, καὶ τὸ αἷμα περὶ τὸν βόθρον ἐπείσαμεν· ὁ δὲ ῥαψῳδὸς ἐν ποδὶ δᾳδα καιομένην ἔχων, ἅμα ἔτι ἠρεμίᾳ τῇ φωνῇ, παμμέτρους δὲ ὡς οἷός τε

ἦν

ἣν ἀναχαλῶν, δαίμονάς τ' ὁμοῦ πάντας ὀπυιόατο καὶ ποινὰς καὶ ἐριννύας, καὶ νυχίαν Ἑκάτην καὶ αἰπύολον Περσεφόνειαν, φόβημισυὺς ἅμα βαρβαρικά τινα καὶ ἄσημα ὀνόματα καὶ πολυσύλλαβα· ἐυθὺς ἦν πάντα ἐκεῖνα ἐσαλπίζετο, καὶ ὑφ' ἑπτὰ σάλπιγξι τὸ Ἅδαφος ἀιέρρηγυτο, καὶ ἡ ὑλακὴ τοῦ Κερβέρου πόρρωθεν ἠκούετο, καὶ τὸ πεδίον ὑπεκάπτετο ἦν καὶ ζωφερώπον.

Ἐσῆλθον δ' ὑπένερθεν ἄναξ ἐνέρων αἰδωνεύς. Καλεφαίνετο γὰρ ἤδη τὰ πλεῖστα, καὶ ἡ λίμνη, καὶ ὁ Πυριφλεγέθων, καὶ τὸ Πλούτωνος τὰ βασίλεια· καταδύντες δ' ὅμως διὰ τοῦ χάσματος, τὸ μὲν Ῥαδάμανθυν ἐυεργέτην τεθνεῶτα μικροῦ δεῖν ὑπὸ τοῦ δέους ὁ Κέρβερος ὑλάκησε μέν τοι, καὶ παρεκίνησε ταχὺ δέ με χρόσας τὸ τε λύσαν, πεφοβημένον ἐνοικήσῃ ὑπὸ τοῦ μέλους· ἐπεὶ ὁ μὲν τὸ λίμνην ἤλθομεν, μικρὸν μὲν ἀπ' ἐπεραιώθημεν, ἦν γὰρ ἤδη πλῆρες τὸ πορθμεῖον, καὶ οἰμωγῆς ἀνάπλεων. θαυμάσαι δ' πάντες ἐπέπλεον, ὁ μὲν τὸ Κύρου· ὁ δὲ τὸ Κροίσου· ὁ δὲ τὸ Μιλησίου τινὸς ἐμοὶ δοκεῖν ἦν πολέμῳ παρόντες· ὅμως δ' ἦν ὁ βέλτιστος Χάρων, ὡς εἶδε τὸ λεοντῆν, οἰνδείς με τὸ Ἡρακλέα εἶναι ἐσελέξατό με καὶ διεπόρθμευσέ τε ἄσμενος, καὶ ἀποβάσι διεσήμαινε τὴν ἀτραπόν.

6. Ἐπεὶ δὲ ἤμελλον ἐν τῷ κάτω πορεύεσθαι μὲν ὁ Μιθροβαρζάνης, ἐπόμην δ' ἐγὼ κατόπιν ἐχόμενος αὐτοῦ, ἕως περὶ λειμῶνα μέγιστον ἀφικνούμεθα τῷ ἀσφοδέλῳ καλαφύτον, ἔνθα δὴ πρεσβύτατοι ἡμᾶς ὑπεδέξαντο τῶν νεκρῶν αἱ σκιαί· καὶ ὀλίγον ὑπὲρ περιόντες, παρεγγυόμεθα περὶ τοῦ Μίνω δικαστοῦ· ἐτύγχανε δὲ ὁ μὲν θεόν τινος ὑψηλοῦ καθήμενος· παρεστήκεισαν δὲ αὐτῷ ποιναὶ καὶ ἀλάστορες, καὶ ἐριννύες· ἐπέρωθεν δὲ προσήεσαν πολλοὶ πάνυ ἐφεξῆς ἀλύσει

ἀλύσεσι μακραῖς δεδεμένοι· ἐλέγοντο δὲ εἶναι μοι καὶ πορνοβοσκοὶ, καὶ τελῶναι, καὶ κόλακες, καὶ συκοφάνται, καὶ πάντες ὅσοι τῶν πάντα κυκώντων ἐν τῷ βίῳ· χωλοὶ δὲ οἵτε πλέσται καὶ τοκογλύφοι πρεσβῆες, ὠχροὶ, καὶ πρεγάσορες, καὶ ποδαγροὶ, κλοιὸν ἔχοντες αὐτῶν καὶ κέρκινα δικάλαντον ὅπη κείμενον· ἐρεσχῶντες ἦν ἡμεῖς, ἐωρῶμεν τὰ γιγνόμενα, καὶ ἠκούομεν τῶν ἀπολογουμένων· κατηγόρουν δὲ αὐτῶν κανοί τινες καὶ παράδοξοι ῥήτορες. ΦΙΛ. Τίνες ἔτοι πρὸς Διός; μὴ γὰρ ὀκνήσῃς καὶ τοῦτο εἰπεῖν. ΜΕΝ. Οἶσθά που ταυλασὶ τὰς πρὸς τὸ ἥλιον ἀποσελινούσας σκιὰς ὑπὸ τῶν σωμάτων; ΦΙΛ. Πάνυ μὲν οὖν. ΜΕΝ. Αὗται τοίνυν ἐπειδὰν ἀποθάνωμεν, κατηγοροῦσι τῶν, καὶ καταμαρτυροῦσι καὶ διελέγχουσι τὰ πεπραγμένα ἡμῖν πρὸς τὸν βίον, καὶ σφόδρα τινὲς αὐτῆς ἀξιόπιστοι δοκοῦσιν, ἅτε ἀεὶ σκιοῦσαι, καὶ μηδέποτε ἀφιστάμεναι τῆς σωμάτων· ὁ δ' ἐν Μίνως ὑπομελῶς ἐξετάζων ἀπέπεμπεν ἕκαστον ἐς τὴν ἀσεβῶν χώρην, δίκλιν ὑφέξοντα κατ' ἀξίαν τῆς τετολμημένων· καὶ μάλιστα ἐκείνων ἤπτετο τῶν ὅτι πλούτου τῆς καὶ ἀρχαῖς τεθυφωμένων, καὶ μονονοὺ καὶ προσκυνεῖσθαι ἀξιούντων· τοὺς ὀλιγοχρόνιον ἀλαζονείαν αὐτῶν, καὶ τὴν ὑπεροψίαν μυσαττόμενος, καὶ ὅτι μὴ ἐμέμνηντο, θνητοὶ τὸ ὄντες αὐτοὶ, καὶ θνητῶν ἀγαθῶν τετυχηκότες· οἱ δὲ ἀποδυσάμενοι τὰ λαμπρὰ ἐκεῖνα πάντα, πλοῦτον λέγω καὶ δόξαν, καὶ δυναστείας, γυμνοὶ κἀκεῖ νενεκρωμένοι, παρεσήκεισαν, ὥσπερ τινα ὄνειρον ἀναπεμπαζόμενοι τὴν παρ' ἡμῖν εὐδαιμονίαν, ὥστε ἔγωγε ταῦθ' ὁρῶν, ἐφαιδρυνόμην· καὶ εἴ τινα γνωρίσαιμι αὐτῶν, προσιὼν ἂν ἡσυχῇ πως ὑπεμίμνησκον, οἷος ἦν ἐπὶ τὸν βίον, καὶ ἡλίκον ἐφυσᾶτο τὸ, ἡνίκα πολλοὶ μὲν ἔωθεν ὅτι τὰς προθύρους παρεισήκεισαν τὴν πρόοδον αὐτῶν δειμαίνοντες, ὠθούμενοί τε καὶ ἀποκλειόμενοι πρὸς τὰς εἰκόνων·

οἰκετῶν· ὁ δὲ μόγις ἂν ποτε ἀναπείλας αὐτοῖς πορφυρᾶς τις, ἢ φοίνιξος ἢ διαπόικιλος, εὐδαίμονας ᾤετο καὶ μακαρίους ἀποκαίνειν τοὺς προσκυνοῦντας, ἢν τὸ σῖτος ἢ τὴν δεξιὰν προσθεῖναι δοίη καταφιλεῖν· ἐκεῖνοι μὲν οὖν ἠνιῶντο ἀκούοντες.

7. Τῷ δὲ Μίνωϊ μία τις καὶ πρὸς χάριν ἐδικάζετο δίκη· τὸ γάρ τοι Σικελιώτην Διονύσιον, πολλοὶ καὶ ἀνόσια ὑπό τε Δίωνος κατηγορηθέντα, καὶ ὑπὸ τῆς τροφοῦ καταμαρτυρηθέντα, παρελθὼν Ἀείσιππος ὁ Κυρηναῖος (ἄγουσι δ' αὐτὸν ἐν τιμῇ, καὶ δύναται μέγιστον ἐν τοῖς κάτω) μικροῦ δεῖν τῇ χιμαίρᾳ προσδεδέντα, παφέλυσε τῆς καταδίκης, λέγων πολλοῖς αὐτὸν ἤδη πεπαιδωμένον πρὸς ἀρχαῖον γηρᾶσθαι δεξιόν· ἀποστάντες δ' ὅμως τὸ δικαστήριον πρὸς τὸ κολαστήριον ἀφικνούμεθα· ἔνθα δὴ ὦ φίλε πολλὰ καὶ ἐλεεινὰ ἦν ἀκοῦσαί τε καὶ ἰδεῖν· μαστίγων τε γὰρ ὁμοῦ ψόφος ἠκούετο, καὶ οἰμωγὴ ἅμα ὅτι τοὺς πυρὸς ὀπτωμένων, καὶ στρέβλαι, καὶ κύφωνες, καὶ τροχοί, καὶ ἡ χίμαιρα ἐσπάραττε, καὶ ὁ Κέρβερος ἐδάρδαπτε· ἐκολάζοντο δὲ ἅμα πάντες, βασιλεῖς, δοῦλοι, στρατηγοί, πένητες, πλούσιοι, πωχοί, καὶ μετεμέλετο πᾶσι μὲν τελουμένοις· ἐνίοις δὲ αὐτῶν καὶ ἐγνωρίσαμεν ἰδόντες, ὁπόσοι ἦσαν μὲν ἔναγχος πλουτοῦντες· οἱ δὲ ἐνεκαλύπτοντο καὶ ἀπεστρέφοντο· εἰ δέ τις καὶ προσβλέποιεν, μάλα δυσπρεπές τι καὶ κολαστικόν· καὶ ταῦτα, πῶς οἴει, βαρεῖς ὄντες, καὶ ὑπὸ τοῦ βίου τοῖς μὲν τοι πίνουσιν ἡμιτέλεια τὰ κακῶν ἐδέδοτο, καὶ διαναπαύονται πάλιν ἐκολάζοντο.

8. Καὶ μὴν κἀκεῖνα εἶδον τὰ μυθώδη, τὸν Ἰξίονα, καὶ τὸν Σίσυφον, καὶ τὸν Φοῦκα Τάνταλον χαλεπῶς ἔχοντα, καὶ τὸν γυπὸν Τιτυόν. Ἠφύκεις ὅσος; ἔκειτο γὰρ τόπον ἐπέχων

χων ἀγρῶν διελθόντες ἢ καὶ τούτους, ἐς τὸ πεδίον ἐσβάλλομεν, τὸ Ἀχερούσιον δὴ εἰσκομιδή τε αὐτόθι τοῦ ἡμιθέους τε καὶ τὰς ἡρωΐνας, καὶ τὸν ἄλλον ὄμιλον τῶν νεκρῶν καθ' ἔθνη καὶ φῦλα διαιλωμένους, τοὺς μὲν παλαιοὺς πάνυ καὶ εὐρωπαίους, καὶ ὡς φησιν Ὅμηρος, ἀμφιλινεῖς· τοὺς δὲ νεαλεῖς καὶ ζωηρικοτάτους, καὶ μάλιστα τοὺς Αἰγυπτίων αὐτοῦ, διὰ τὸ πολυαρχεῖσθαι τῆς τραπέζης· τὸ μέν τοι διαγινώσκειν ἕκαστον, ὅ πάνυ τι ἦν ῥᾴδιον· ἅπαντες γὰρ ἀτεχνῶς ἀλλήλοις γίνονται ὅμοιοι, τῆς ὀστέων γεγυμνωμένων, πλὴν μόνης καὶ διὰ πολλῶν ἀναθεωρήσεως αὐτοῦ ἐγινώσκομεν· ἔκεινο δ' ἐπ' ἀλλήλοις ἀμαυροὶ καὶ ἄσημοι, καὶ ὑδὲν ἔτι τῆς παρ' ἡμῖν καλῶν φυλάττοντες· ὥστε πολλῶν ὁμοίως τὰ τοιαῦτα σκελετῶν κειμένων, καὶ πάντων ὁμοίων, καὶ φοβερόν τι καὶ διάκενον δεδορκότων, καὶ γυμνὰς τοὺς ὀδόντας προφαινόντων, ὁπόταν πρὸς ἐμαυτὸν, ὦ πῦ διακρίναιμι τὸν Θερσίτην ἀπὸ τοῦ καλοῦ Νιρέως, ἢ τὸν μέλαιτιν Ἴρον ἀπὸ τοῦ Φαιάκων βασιλέως, ἢ Πυρρίαν τὸν μάγειρον ἀπὸ τοῦ Ἀγαμέμνονος· ὑδὲν γὰρ ἔτι τῆς παλαιῶν γνωρισμάτων αὐτοῖς παρέμενεν, ἀλλ' ὅμοια τὰ ὀστᾶ ἦν, ἄδηλα καὶ ἀνεπίγραφα, καὶ ὑφ' ὑδενὸς ἔτι διακρίνεσθαι δυνάμενα.

9. Τοιαῦτοι ἐκεῖνα ὁρῶντι, ἐδόκει μοι ὁ τῆς ἀνθρώπων βίου πομπὴ πάνυ μακρᾷ προεοικέναι, χορηγεῖν ἢ καὶ διατάττειν ἕκαστα ἡ τύχη, διάφορα καὶ ποικίλα τοῖς πομπεύουσι σχήματα προσάπτουσα· τὸν μὲν γὰρ λαβοῦσα ἡ τύχη, βασιλικὰς διεσκεύασε πάντα τε ὁπλίσεις, καὶ δορυφόρους προσαγαγοῦσα, καὶ τὴν κεφαλὴν σεμνύνασα τῷ διαδήματι τῷ ἢ, οἰκέτου σχῆμα προσεβίβασε· τὸν δέ τινα, καλὸν ἔτι ἐπίσημον τὸν ἢ ἄμορφον καὶ γελοῖον παρεσκεύασε·

αστ· παντοδαπὼν γὰρ οἶμαι δεῖν γενέσθαι τὴν θέαν· πολλάκις δὲ διὰ μέσης τῆς πομπῆς μετέβαλε τὰ ἐνίων σώματα, οὐκ ἐῶσα ἐς τὸ τέλος διαπομπεῦσαι, ὡς ἐτάχθη, ἀλλὰ μεταμφιέσασα, τὸν μὲν Κροῖσον ἠνάγκασε τοῖς τοῦ οἰκέτου χρῆσθαι σώμασιν, ἀναλαβεῖν δὲ τὸν Μαιάνδριον, τέως ἐν τοῖς οἰκέταις πομπεύοντα. τὸν Πολυκράτους τυραννίδα μετενέγκασα, καὶ μέχρι μιᾶς πυγῆς εἶασε χρῆσθαι τῷ σώματι· ἐπειδὰν δὲ ὁ τῆς πομπῆς καιρὸς παρέλθῃ, τὰ ἴδια ἕκαστος ἀποδύς τε σκεύη, καὶ ἀποδυσάμενος τὸ σῶμα τῆς ψυχῆς, ὥσπερ ἦν πρὸ τοῦ, γίγνεται, μηδὲν τοῦ πλησίον διαφέρων· ἔνιοι δὲ ὑπὸ ἀγνωμοσύνης, ἐπειδὰν ἀπαιτῇ τὸν κόσμον ὀπίσω ἡ τύχη, ἄχθονταί γε, καὶ ἀγανακτοῦσιν, ὥσπερ οἰκείων πνῶν στερισκόμενοι, καὶ οὐκ ἂν πρὸς ὀλίγον ἐχρήσαντο ἀποδιδόντες· οἶμαι δὲ καὶ τοῦτ' ὅτι τοῦ Ξέρξου πολλάκις ἐπεφάνησαν τοῦ τραγικοῦ ὑποκρινόμενοι τότε πρὸς τὰς χρείας τῶν δραμάτων, ἄρτι μὲν Κροῖσος, ἐνίοτε δὲ, Πειράνης γιγνωμένους, ἢ Ἀγαμέμνονας· καὶ ὁ αὐτὸς, εἰ τύχοι μικρὸν ἔμπροσθεν μάλα σεμνῶς, τὸ τοῦ Κερκέρπου ἢ Ἐρεχθέως σῶμα μιμησάμενος· μετ' ὀλίγον οἰκέτης προσῆλθεν ὑπὸ τοῦ ποιητοῦ κεκελευσμένος· ἤδη δὲ πέρας ἔχοντος τοῦ δράματος, ἀποδυσάμενος ἕκαστος αὐτῶν τὸν χρυσόπαστον ἐκείνου ἐσθῆτα, καὶ τὸ προσωπεῖον ἀποθέμενος, καὶ καλύβας ὑπὸ τῆς ἐμβατῶν, πένης καὶ ταπεινὸς ἀπεχώρει, οὐκ ἔτ' Ἀγαμέμνων ὁ Ἀτρέως, οὐδ' ὃ Κροῖσον ὁ Μενοικέως, ἀλλὰ Πῶλος Χαικλέους σανιδᾶς ὀνομαζόμενος, ἢ Σάτυρος ὁ Θεογείτονος Μαραθώνιος· τοιαῦτα καὶ τὰ τῆς ἀνθρώπων πράγματά ἐστιν, ὡς τότε μοι ὁρῶντι ἔδοξεν.

10. ΦΙΛ. Εἰπέ μοι, ὦ Μένιππε, οἱ τοῦ πλου-

